v. 16. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστι, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με.

Μακρὰ, φησὶν, καὶ διηνεκὴς ἡ καθ' ἡμᾶς γέγονε αἰσχυνή.

v. 1. *In finem, filiis Chore, ad intellectum psalmus.*

Argumentum. In persona gentium cantatur psalmus, vel in persona exulum in dispersione, vel in persona Macchabæorum.

v. 9. *In Deo laudabimur tota die.*

Tota die dixit de vita in Deo, quæ consistit in passionum immunitate et scientia Dei. Quæ quidem bona in aliis temporibus a te facta sunt; sed in hoc præsenti ævo tua sumus protectione manifesto destituti.

v. 11. *Avertisti nos retrorsum post inimicos nostros, et qui oderunt nos, diripiebant sibi.*

Per vitia et ignorantiam rapiunt nos inimici. — Hic significatur, ante nos quidem dici esse virtutes, retro autem vitia: quare jubemur fugere fornicationem, persequi autem castitatem et hospitalitatem. Cæterum non quicumque retro conversus, id prave sustinet; sed si quis prava fugiens, ad ea postmodum velit reverti, veluti qui ex Sion, id est a virtute ad malitiam, quæ Babylon appellatur, iter rursus flectit.

v. 16. *Tota die verecundia mea contra me est, et confusio faciei meae cooperuit me.*

Prolixa, inquit, et diuturna ignominia nostra facta est.

Ps. xliii, v. 1. Vat. 2, 6. Rarum est historicum hujusmodi argumentum apud Origenem aut veteres: ac timendum ne similia januam aperuerint Mopsuesteno, qui fere omnes psalmos potius ad Babylonica exilia aut Macchabæorum tragædias, quam ad Christum et Ecclesiam, spreto spirituali sensu Alexandrinorum, retulit. Partim eadem habent edd. sed μεταφραστικῶς.

v. 9. Vat. 14, 16.

v. 11. Vat. 5, 14.

v. 16. Iidem codd.

Psalmus XLIV.

v. 2. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. *Vat.* f. 651, 1.

Ὠριγένους, περὶ τῆς ἁγίας Τριάδος. — Ὃν εἴρηκεν Λόγον, τοῦτον καὶ γλῶσσαν· κάλαμος γὰρ ὠνόμασται, διὰ τὸ λέγειν τι, καὶ εὐθέως γίνεσθαι, ὡς τό· Θέλω, καθαρίσθητι, καὶ εὐθέως ἐκαθαρίσθη. Καί· Σοὶ λέγω, ἐγέρθητι, καὶ ἀνέστη. Οὐ μὴν ἀλλὰ καὶ τό· Λόγον συντετμημένον ποιήσει Κύριος ἐν τῇ οἰκουμένῃ.

v. 3. Ἐξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Γλυκύφωνος γὰρ ὁ Κύριος ἡμῶν, λέγων· Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι. Καί· Ἐγώ εἰμι ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ διδοὺς ζωὴν τῷ κόσμῳ. Μωσῆς γάρ, καὶ εἴ τις ἄλλος δίκαιος, εὗρεν χάριν ἐνώπιον τοῦ Θεοῦ· ἐπὶ δὲ τὸν Υἱὸν ἡ πατρικὴ πᾶσα χάρις ἐκενώθη. Ἦν γὰρ ὁ Πατὴρ λαλῶν ἐν τῷ Υἱῷ. Ὅθεν καὶ ἡ διακονισαμένη τῇ ἐν ἀνθρώποις αὐτοῦ παρόδῳ λέλεκται κεχαριτωμένη. Ἐν αὐτῷ γὰρ ηὐδόκησεν πᾶν τὸ πλήρωμα, καὶ τὰ ἑξῆς. — Ἡ πᾶσα δύναμις τῶν οὐρανῶν τῇ τῶν γεγονότων κέχρισται θεωρίᾳ. Ὁ δὲ Χριστὸς παρὰ πάντας κέχρισται καὶ μετόχους αὐτοῦ, δηλονότι τῇ τῆς μονάδος κέχρισται

v. 2. *Eructavit cor meum verbum bonum; dico ego opera mea regi; lingua mea calamus scribae velociter scribentis.*

Origenis *de S. Trinitate.* — Quem vocavit *Verbum,* eumdem dicit *linguam.* Calamus autem nominatus est, quia quidquid dicit, statim efficitur, ut illud: « Volo, mundare, et statim mundatus est; » et: « Tibi dico, surge, et surrexit. » Immo haud aliud est istud: « Verbum abbreviatum faciet Deus in orbe. »

v. 3. *Effusa est gratia in labiis tuis: propterea unxit te Deus tuus in sæculum.*

Etenim ore dulcifluus est Dominus noster, qui ait: « Ego veni, ut vitam habeant, et abundantius habeant; » et: « Ego sum panis vivus, qui de cœlo descendit, et dat vitam mundo. » Moyses quidem, vel si quis alius justus, invenit gratiam coram Domino. At super Filium omnis gratia Patris exhausta et effusa est. Erat enim Pater in Filio loquens. Und etiam illa quæ ministra illi fuit in transitu ejus inter homines [Beata Virgo] dicta est « gratia cumulata. » In ipso enim complacuit omnem plenitudinem inhabitare, etc. Vel etiam omnis cœlorum virtus uncta fuit in creaturarum

Ps. xliv, v. 2. Vat. 14, qui solus nobis servavit illam commentarii partem haud spernendam. In epigraphe, ad marginem posita, περὶ τ· ἁγ· Τριάδος, lubentius video notulam librarii, quam titulum tractationis ignotæ Origenis. Nisi scholium esset mutilum, de Trinitate magis perspicuum haberetur, ac veterum referret interpretationem, quam servavit simul et respuit Eusebius Arianus: "Quidam, inquit, arbitrati sunt ex persona Patris psalmum pronuntiari de Verbo, quod in principio erat apud Deum, quodque ipse, seu ex corde, sive ex ipsis visceribus produxit." Idem commemoravit Basilius, fere ut apud Corderium pseudo Theodorus Heracleota, qui sæpe plura ipso antiquiora revocat: Ἄλλος. Τὴν ἀπογέννησιν τοῦ Υἱοῦ, τὴν ἐκ τῆς οὐσίας τοῦ Πατρός, παραβολικῶς δηλοῖ διὰ τῆς καρδίας καὶ τοῦ Λόγου, οὐ γὰρ γεννᾷ σωματικῶς ἡ καρδία τὸν Λόγον, ἀεὶ αὐτῇ συνυπάρχοντα. Cæterum de hac interpretatione dubium ipse movit Origenes, si illi dandum sit aliud scholium apud BB. receptum. Sed primus omnium et palam surrexit Melito in *Clavi* p. 7, n. 7, 9: *Verbum Domini, Filius. Lingua Domini, Spiritus sanctus, in psalmo: Eructavit* etc. — Cf. Matth. viii, 3. Luc. vii, 14. Is. x, 23 juxta lxx. Athanas. ad h. l.

v. 3. Vat. 13, 14. Cf. Joan. x, 10; vi, 4. Exod. xxxiii, 12. Luc. i, 28. Et iterum id. Athan.

γνώσει. Διὸ καὶ μόνος λέγεται ἐν δεξιᾷ καθέζεσθαι τοῦ Πατρὸς Χριστός. Χριστὸν δέ φημι, τὸν μετὰ Θεοῦ Λόγον, ἐπιδημήσαντα Κύριον.

v. 9, 10. Σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βαρέων ἐλεφαντίνων. — Ηὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Ἱμάτια Χριστοῦ νοητέον τούς, οἷον εἰπεῖν, ἐν Χριστῷ καὶ περὶ αὐτὸν διὰ πίστεως καὶ ἁγιασμοῦ καὶ οἰκειότητος πνευματικῆς. Βάρεις μὲν ἐλεφαντίνας τὰς ἐκκλησίας ἐν τούτῳ φησίν. Ἡ βᾶρις γὰρ καλεῖται πύργος ἅπας πεπυργωμένος· καί φαμεν τὰ ἐν κλεινῇ δυνάμει καὶ χάριτι τεθεμελιωμένα· τεθεμελίωνται γὰρ ἐπὶ τὴν Πέτραν· [ἐλεφαντίνας], ἀντὶ τοῦ λαμπρὰς εἶναι καὶ τιμίας. Αὗται δὲ ὡς ἐξ ἐλέφαντος βάρεις καὶ βασίλειαί εἰσιν θυγατέρες· υἱοὶ γὰρ ὄντες τῆς βασιλείας οἱ μαθηταί, εἰκότως ἂν καὶ βασιλεῖς ὀνομάζοιντο. Ἐγέννησε δὲ τὰς ἐκκλησίας, λέγοντος καὶ Παύλου· Διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Ταῖς οὖν νοηταῖς εὐοσμίαις αἱ τῶν βασιλέων ηὔφρανάν σε θυγατέρες, τουτέστιν ἐν τῷ καιρῷ, καθ' ὃν ἔδει τιμηθῆναί σε παρ' αὐτῶν. Ὅτε γὰρ κέκληνται, τότε καὶ τετιμήκασιν. Ἀπὸ τούτων δὲ τῶν ἀρωμάτων καὶ τὸ νομικὸν συνεχεῖτο ἔλαιον, ἀφ' οὗ ἱερεῖς ἐχρίοντο, καὶ ἡ σκηνὴ καὶ σκεύη λει-

contemplatione. Christus vero unctus est *super omnes participes suos,* videlicet unctus est unitatis scientia. Idcirco solus dicitur sedere in dextera Patris, Christum dico, Verbum quod cum Deo est, Dominum inter nos conversatum.

v. 9, 10. *Myrrha et gutta et casia a vestimentis tuis, a domibus eburneis. — Delectaverunt te filiae regum in honore tuo. Astitit regina a dextris tuis, in vestitu deaurato, circumcincta, circumdata varietate.*

Noscere est, vestimenta Christi esse, ut ita dicam, eos qui in Christo et circa illum stant per fidem et sanctitatem et spiritualem necessitudinem. *Domus eburneas* vocat ecclesias in ipso conditas. Βάρις enim propriæ vocatur turris quæcumque munita; quo verbo ea significamus quæ consistunt in insigni fortitudine et gratia. Ecclesiæ enim fundatæ sunt super petram; [*eburneae*], pro eo quod splendidæ sint et decoræ. Ipsæ autem sunt quasi eburneæ turres ac regiæ filiæ. Etenim cum filii sint discipuli, recte et ipsi reges nominati essent. Rex autem genuit has ecclesias, dicente etiam Paulo: « Per Evangelium ego vos genui. » His ergo spiritualibus odoribus *filiae regum delectaverunt te,* in eo nimirum tempore, quando oportebat te ab illis honorari; quando enim vocatæ sunt, etiam tum illum honorarunt. Ex hac vero fragrantia

v. 9, 10. Vat. 13, 14. Cf. Luc. vi, 48. Matth. viii, 12. i Cor. iv, 13. Hebr. xii, 22. Ad locum BB. tibi in medio positum variant codd. ὑπ' αὐτοῦ γινόμεναι καθαραὶ ψυχαί (BB. minus bene κατ' ἀρετὴν ψυχαί)... Ἐκκλησία τοῦ Χριστοῦ. Nonnulla transierunt ad Athanasium et Basilium. Sed vetus quidam Anonymus Corderii singularia subdit notatu digna t. I, p. 828: " In imaginibus solent facere reges considentes, et juxta illos collocant quasdam mulieres, iisque epigraphen addunt, sive βασιλείαν, sive δικαιοσύνην sive quid simile. Ex metaphora igitur imaginum vult dicere, quod ipse sedeat in throno celsissimo, ast vero ipsi assideat Ecclesia, reginæ locum tenens. „ Sed unde hæc apud Theodorum Heracleotam, 1, 836? " Ipsius igitur Christi et sanctorum divina templa significat, quæ post passionem et resurrectionem erecta sunt per omnem quidem terram, sed per excellentiam Hierosolymis, ubi et passio contigit, ubi filiæ regum Helena et Eudocia, aliæque plurimæ templa pretiosa et magnifica ædificarunt, quin et ebore illa adornantes, hunc psalmum opere adimpleverunt. „ — Locum in medio notatum habent BB. 712. — Circa finem, ubi πλουσιών, cod. habet πολλῶν ambigue.

τουργικά. — Οἱ ἅγιοι μαθηταὶ........ τοῦ Θεοῦ. Καὶ ἄλλως δὲ ἡ σμύρνα τῆς ταφῆς ἐστι σύμβολον, ὡς ὁ εὐαγγελιστὴς ἐδίδαξε, εἰπὼν ὑπὸ Ἰωσὴφ τοῦ Ἀριμαθαίου ἐντεταφίασθαι τὸν Ἰησοῦν μετὰ τῆς σμύρνης καὶ ἀλόης. — Ἡ δὲ στακτὴ καὶ αὐτῆς σμύρνης ἐστὶ τὸ λεπτότερον· ἐκθλιβέντος γὰρ τοῦ ἀρώματος, ὅσον μὲν αὐτόῤῥυτον εἰς τὴν στακτὴν ἀπομερίζεται· τὸ δὲ παχύτερον ἀπομένον, σμύρνα προσαγορεύεται. Ὧν τὸ μὲν πάθος δηλοῖ, τὸ δὲ τὴν εἰς ᾅδου κατάβασιν, ἐπειδὴ πᾶσα σταγὼν ἐπὶ τὰ κάτω καταφέρεται. Κατῆλθε γάρ, ἵνα πληρώσῃ ἑαυτοῦ τὰ σύμπαντα. — Ἡ δὲ κασσία φλοίος τίς ἐστι λεπτότατος καὶ εὐώδης, ἐν ξυλώδει κάρφει περιτεινόμενος. Παρῃνίξατο διὰ τὴν τῆς σαρκὸς περὶ τοῦ ξύλου οἰκονομίαν. Ἐκ δὲ ταύτης τῆς αἰτίας καὶ εὐγενεῖς καὶ βασιλικαὶ ψυχαί, διὰ τὴν εἰς ἡμᾶς συγκατάβασιν εὐγνώμονες οὖσαι, τὸν Χριστὸν ηὔφρανον πλουσίως, προσέτι τοῖς ἱματίοις τοῦ Χριστοῦ ἀπὸ πλουσίων οἰκοδομημάτων φερόμεναι. Βάρεις γὰρ οἱ μέγιστοι τῶν οἴκων λέγονται καὶ τούτων ἐλεφαντίνων, διὰ τὸ πλουσίαν εἶναι τὴν τοῦ Χριστοῦ περὶ τὸν κόσμον ἀγάπην.

etiam legale oleum effusum est, quo sacerdotes ungebantur, et tabernaculum et vasa ministerii. Sancti discipuli, etc. — Altera autem interpretatione, *myrrha* est sepulturæ symbolum, sicut evangelista nos edocuit, quum eo referente, Joseph ab Arimathea sepelivit Jesum cum myrrha et aloe. — *Gutta* autem est ipsius myrrhæ pars subtilior. Quando enim expressum fuit aroma, quidquid per se effluit, in guttam separatur. Quod vero crassius permanet, myrrha nuncupatur. Quarum rerum una quidem passionem significat; altera vero ad inferos descensum. Etenim ad inferiora quæcumque stilla demittitur; descendit porro ille ut omnia quæ de seipso erant impleret. — *Cassia* vero cortex est tenuissimus et fragrans, lignoso surculo circumvolutus. Respicitur ad factam in carne circa crucis lignum œconomiam. Eam autem ob causam et nobiles et regiæ animæ grato animo memores hujusce ad nos descensus, Christum affatim lætificarunt, Christi insuper vestibus insertæ ex opulentis ædibus. Turres enim sive βάρεις, majores domus dicuntur, etiam ex ebore sculptæ propter locupletem Christi erga mundum charitatem.

Ἡ δὲ βασίλισσα, ἡ μήτηρ τῶν θυγατέρων, παρέστη ἐκ δεξιῶν, ἡ καθολικὴ ἐκκλησία. Κυριώτερον δὲ εἴποις ἐπουράνιον, ἥτις ἐστι μήτηρ τῶν ἐπὶ γῆς ἁγίων, Παύλου λέγοντος· Ἡ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. Καλεῖ δ' αὐτὴν πόλιν Θεοῦ ζῶντος καὶ τὰ ἑξῆς. Αὕτη μὲν οὖν ἡ τελεία Χριστοῦ νύμφη, ἧς οὐκ ἂν ἁμάρτοις, θυγατέραν λέγων τὴν ἐπὶ γῆς ἐκκλησίαν. Βασίλισσα δὲ ἐκείνη, ὡς συμβασιλεύουσα τῷ ἑαυτῆς νυμφίῳ, καὶ τὸ βασιλικὸν καὶ φωτοειδὲς τῆς ἀφθαρσίας ἔνδυμα φέρουσα. — Δεξιὰν δὲ χώραν τοῦ Χριστοῦ λαμβάνει, διακρίνοντος ἀπὸ τῶν φαύλων καὶ τῶν ἀγαθῶν, ὡς ὁ ποιμὴν ἀπὸ τῶν ἐρίφων τοῦ προβάτου. Παρίσταται οὖν ἐν ἱματισμοῖς δια-

Ipsa autem *regina,* mater filiarum, *astitit a dextris,* Ecclesia catholica. At convenientius dixeris eam esse cœlestem illam, quæ est mater sanctorum in terra, Paulo dicente: « Quæ sursum est Hierusalem, libera est, quæ est mater nostra. » Eam item nuncupat civitatem Dei viventis, etc. Ipsa autem est perfecta Christi sponsa, cujus si dixeris filiam eam Ecclesiam, quæ super terram est, haud aberraveris. Eadem vero regina est, ut quæ cum sponso suo simul regnat, ac regium luceque perfusum incorruptionis gerit indumentum. — Partem vero dexteram suscipit, Christi nempe ab improbis probos discernentis, sicut pastor

χρύσοις, ἐν δόγμασι νοεροῖς καθυφασμένη, καὶ περιπεποικιλμένη ταῖς διαφοραῖς τῶν ἀρετῶν. — Τὸ δὲ βεβλημένη, πεποικιλμένη οὔτε ἐν τῷ ἑβραϊκῷ, οὔτε παρὰ τῶν ἄλλων φέρεται.

v. 11-14. Ἄκουσον, Θυγάτερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου· ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστιν ὁ Κύριός σου. Καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις· τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς. Πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς βασιλέως Ἐσεβών, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. *Vat. B.* 652, 1.

Ο μὲν Ἀκύλας προσεκύνησεν ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος προσκυνήσεις, καὶ μὴ προτροπῇ τῆς πρὸς αὐτὴν προσκυνήσεως. — Μυσταγωγοῦσι τὴν βασιλίδα, ὡς ἂν εἴη τῷ νυμφίῳ κεχρισμένη. Ἔστι δὲ τὸ ἀκοῦσαι πρῶτον, εἶτα δὲ γνῶναι. Θυγατέρα δὲ καλοῦσιν τὴν ἐκκλησίαν, ἅτε δὴ αὐτὴν προκοσμιθεῖσαν τῷ οὐρανίῳ νυμφίῳ. Θεοῦ γὰρ γεγόνασιν συνεργοὶ Θεοῦ διάκονοι, καταλλάσσοντες αὐτῷ διὰ τῆς πίστεως τὴν ὑπ' οὐρανῶν, τὴν ἐξ ἐθνῶν, φησίν, ἐκκλησίαν· οὐ γὰρ ἀνῃρήθη ἡ ἐξ Ἰσραήλ. Ἡμεῖς οὖν ἦμεν ποτὲ ἀνόητοι, καὶ τέκνα ὀργῆς, καὶ ἦσαν ἡμῖν οἱ εἰδωλολάτραι λαός. Οὕτω ποτὲ καὶ τῷ Ἀβραὰμ ἐλέγετο· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου. Μέχρι νῦν οἱ προσιόντες τῷ θείῳ φωτίσματι, πρὸς δυσμὰς τραφέντες· Ἀποτασσόμεθά σοι, φασίν, Σατανᾶ! Τίς δὲ τούτου μισθός; Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· οὐ τὸ φυσίκον αὐτῆς λέγει, ἀλλὰ τὸ κατ' εἰκόνα καθάρσεως, μόνον

hœdos ab ove secernit. Astat igitur *in vestibus deauratis,* dogmatibus revelatis intertexta, et *circumornata* varietatibus virtutum. — Apposita *circumdata, ornata varietate,* neque apud Hebræos, neque apud cæteros referuntur.

v. 11-14. *Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere domum patris tui, quoniam concupivit rex decorem tuum, quoniam ipse est Dominus tuus. Et adorabunt eum filiæ Tyri in muneribus; vultum tuum deprecabuntur divites plebis terræ. Omnis gloria filiæ regis ab intus, in fimbriis aureis circumdata, ornata varietatibus.*

Aquila autem interpretatus est: *Adoravit;* Symmachus vero: *Adorabis,* absque respectu ad adorationem ad eam spectantem. — Mystice inducunt reginam, ac si esset cum sponso insimul uncta. Primum autem est audire, alterum nosse. Filiam vero vocant Ecclesiam, ut quæ sponso illi cœlesti adlecta est. Dei enim ministri fiunt Dei cooperatores, illi per fidem reconciliantes per totum orbem ecclesiam, inquit, ex gentibus oriundam: haud enim elevata est Israelis ecclesia. Nos igitur olim fuimus scientiæ expertes, et filii iræ, ac noster populus idolis erat deditus. Abrahæ sic dictum est quondam: « Egredere de terra tua, et de gente tua et de domo patris tui. » Hactenus qui accedunt ad fontis lumen divinum, conversi ad occasum, inquiunt: « Abrenuntio tibi, Satana. » Hujus vero repudii quæ merces? *Et concupiscet rex decorem tuum,* non physi-

v. 11, 14. Sicut in fine scholii præcedentis, cf. Euseb. et Field. t. II, p. 163, 164 not. 41 et 50. Vat. B in v. 14 habet primum βασιλέως ἐσεβὼν, tum vetere corr. βασιλέως ἔσωθε. Bis idem habet in v. 10 et 14 περιβεβλημένη, πεποικιλμένη. — Vat. 14 fere totum hujus psalmi commentarium præbuit, in quo nota quæ spectant iterum ad veteres baptismi ritus, et quæ monent nondum imperatores fuisse ad fidem adductos. In fine quædam mutila videntur, alia passim dissoluta et in catenis lacerata nimis, quæ tamen Origenem sapiunt. Genes. XII, 1.

δεόμενον δειχθῆναι. Οὐκ ἂν γάρ τις καθαρῶς τῇ διὰ Χριστοῦ προσέρχεται πίστει, μὴ παντελῆ λήθην τῶν προτέρων κακῶν ποιησάμενος. Λαὸς δὲ τῆς ἐκκλησίας πάλαι οἱ εἰδωλολάτραι· οἶκος δὲ πατρὸς, οἱ σοφοὶ τοῦ αἰῶνος, ἐν οἷς κατῴκει ὥσπερ ἔνοικος ὁ Σατανᾶς. — Μητρόπολις Χαναναίων ἡ Τύρος, προκειμένων ἄγαν εἰδώλοις. Προτρεπόμενος οὖν εἰς ὑπακοὴν τὴν ἐκκλησίαν ὁ λόγος, καὶ θυγάτηρ, φησὶ, Τύρου ἥξει μετὰ δώρων, καὶ τὸ σὸν πρόσωπον δὲ πλούσιοι τοῦ λαοῦ λιτανεύσουσιν ἐν δώροις, οὐ γὰρ αὐτὴν προσκυνοῦσιν, ἀλλὰ τὴν κεφαλὴν αὐτῆς, ὅς ἐστιν ὁ Χριστὸς ὃν νῦν κατασημαίνει. Τοὺς Τυραίους δὲ ὠνόμασεν διὰ τὸ μάλιστα αὐτοὺς ἐχθροὺς εἶναι τοῦ εὐσεβοῦς πολιτεύματος. — Πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. Τοῦτό φησιν, εὐαγγελιζόμενος καὶ αὐτοὺς βασιλεῖς καὶ τοὺς ἐν ὑπεροχῇ ὄντας προσκυνήσειν τῇ ἐκκλησίᾳ, ἤτοι τὸν ἐν αὐτῇ Κύριον. Τὸ ἔσωθεν Θεὸν ἔσω σημαίνει. Νοητὸς γὰρ ὁ κόσμος τῆς ἐκκλησίας. Κροσσὸς καὶ τὰς πολυειδεῖς ἀρετὰς σημαίνει Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασίλεως ἔσωθεν ἐν κροσσωτοῖς περιβεβλημένη, πεποικιλμένη, εἴτουν πράξεσι, εἴτε καὶ θεωρήμασι· καὶ εἰ ὑπόζυγόν ἐστί τι Χριστῷ, καὶ εἰ παρθένος ὅλη Χριστοῦ, ἡ μὲν ἐν τῷ παντελῶς ἐνδεσμεῖσθαι τῷ Λόγῳ, ἡ δὲ μηδ' ὅλως γενέσθω τοῦ κόσμου· οὐ γάρ ἐστιν ὑπόζυγον μέρος, τοῦτο παντελὲς τῷ παρθένῳ.

cum quidem, sed secundum imaginem puritatis, quod solum recipiatur oportet. Nemo enim pure accedit ad christianam fidem, nisi præteritorum malorum omnino memoriam aboleat. ***Populus*** autem Ecclesiæ olim erant idolorum cultores. *Domus* autem *patris* sapientes sæculi sunt, in quibus ut inquilinus inhabitabat Satanas. — Chananæorum metropolis Tyrus erat, magnopere idola sectantium. Verbum igitur dum hortatur Ecclesiam ad audiendum, ei dicit: ***Filia*** Tyri ***veniet cum muneribus, et divites plebis vultum tuum deprecabuntur in donis.*** Eam enim minime adorant, sed caput ejus, quod est Christus, quem nunc significat. Tyros autem appellavit, quod in primis sacrum vivendi genus oppugnabant. — ***Omnis gloria filiæ regis ab intus.*** Hunc faustum fert nuntium, etiam reges et quoscumque sublimitate insignes adoraturos esse Ecclesiam, id est stantem in ea Dominum: adjunctum ***intus*** Deum illi intimum significat. Spiritalis enim est Ecclesiæ mundus. Fimbria etiam designat multiplices virtutes. *Omnis gloria filiæ regis ab intus in fimbriis circumdata, variegata,* id est in actibus simul et contemplationibus. Et si qua est Christi consors, si quæ integra Christi virgo est, ea est quantum Verbo arctissime conjungitur, neque ullo pacto mundi particeps fit: nam non est in conjuge pars; totum in virgine integrum sponso est.

Psalmus XLV.

v. 2. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. *Vat.* 652, 2.

Φεύγοντες τὴν πορνείαν, τῇ σωφροσύνῃ προσφεύγωμεν· καὶ μαχόμενοι αὐτῇ τῇ

v. 2. *Deus noster, refugium et virtus: adjutor in tribulationibus quæ invenerunt nos nimis.*

Fornicationem effugientes, confugiamus ad castimoniam. Cui si resistimus,

Ps. XLV, v. 2, Vat. 14.

δικαιοσύνῃ μαχόμεθα. Πάλιν φεύγοντες τὴν ἀδικίαν, τῇ δικαιοσύνῃ προσφεύγωμεν· εἰ μὲν δὲ προσφεύγομεν αὐτῇ, καταφυγὴ ὀνομάζεται. Εἰ δὲ μετ' αὐτῇ πολεμοῦμεν, δύναμιν λέγει.

v. 5. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.

Χαρίσματα τοῦ ἁγίου Πνεύματος· Ποταμοὶ γάρ, φησίν, ἐκ τῆς καρδίας αὐτοῦ ῥέουσιν ὕδατος ζῶντος. Ἔλεγε δὲ περὶ τοῦ Πνεύματος.

v. 8. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν.

Καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς ἀποστόλοις ὑπέσχετο· Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμί. Καί· Ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐγώ εἰμι μέσῳ σὺν αὐτοῖς. Πάλιν Κύριος ὁ Θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν, ὡς οὐδὲν πέσωμεν παρ' αὐτοῦ. Εἰ γὰρ Θεὸς ὑφ' ἡμῶν, τίς καθ' ἡμῶν; αὐτὸς πολεμήσει ὑφ' ἡμῶν, ἡμεῖς δὲ ἡσυχάσομεν.

pugnamus contra justitiam. Rursus dum effugimus injustitiam, confugiamus ad justitiam. Dum vero confugimus, id *refugium* vocatur. Quod si cum ea pugnamus, hoc *virtutem* esse dicit.

v. 5. *Fluminis impetus lætificant civitatem Dei.*

Sunt dona sancti Spiritus. « Flumina enim, inquit, fluent ex corde ejus aquæ vivæ. Loquebatur autem de Spiritu Sancto. »

v. 8. *Dominus virtutum nobiscum.*

Et ipse Dominus sacris apostolis pollicebatur: « Ecce ego vobiscum sum. » Et: « Ubi duo vel tres congregantur in nomine meo, ibi sum in medio eorum. » Rursus: « Dominus virtutum nobiscum est, » ut ab ipso minime cadamus. « Si enim Deus pro nobis, quis contra nos? » ipse pro nobis certabit, nos vero quiescemus.

v. 5. Vat. 14. Joan. VII, 38.
v. 8. Vat. 14. Cf. Math. XXVIII, 20, XVIII, 19, 20. Rom. VIII, 31.

Psalmus XLVI.

v. 5. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν. *Vat.* 653, 1.

Ἣν ἠγάπησεν καλλονὴν Ἰακώβ, ἡ γνῶσίς ἐστι τοῦ Θεοῦ.

v. 7, 8. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε. Ψάλατε τῷ βασιλεῖ ἡμῶν.... ψάλατε συνετῶς.

Ὁ μὲν δίκαιος εὐλογεῖ τὸν Κύριον ἐν παντὶ καιρῷ· ὁ δὲ ἁμαρτωλὸς τὸ τηνικαῦτα ἐξομολογούμενος εὐλογεῖ τὸν Θεόν, ὁπηνίκα ἂν ἀγαθόν τι αὐτῷ ἐκ Θεοῦ πρόκειται.

v. 5. *Elegit nobis hæreditatem suam, pulchritudinem Jacob, quam dilexit.*

Quam dilexit pulchritudinem Jacob, scientia Dei est.

v. 7, 8. *Psallite Deo nostro, psallite; psallite regi nostro... psallite sapienter.*

Justus quidem omni tempore Domino benedicit; peccator vero solummodo Deum confitetur et laudat, quando quid boni a Deo ipsi adjacet.

Ps. XLVI. v. 5, 7, 8. Vat. 5.

Psalmus XLVII.

v. 3. Εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς· ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βοῤῥᾶ. *Vat.* 653, 1.

Ὁ Χριστὸς, εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς. Ῥίζα δὲ αὐτοῦ ὁ Θεὸς Λόγος, ὁ ἐν αὐτῷ. — Πρότερον μὲν ἦν ὁ Παυλος πλευρὰ τοῦ βοῤῥᾶ, ἀφ' οὗ ἐξεκαύθη πάντα τὰ κακὰ ἐπὶ τῆς γῆς· νυνὶ δὲ γέγονεν ὄρος Σιὼν, ἔχον ἐν ἑαυτῷ λαλοῦντα τὸν Χριστὸν, τὸν ἐλθόντα ἐκ Σιὼν, καὶ ἀποστρέψαντα ἀπὸ ἀσεβείας, ἀπὸ Ἰακώβ. — Ἡ μὲν Ἱερουσαλὴμ ἐν τῷ νότῳ κεῖται, τὰ δὲ ἔθνη ἐν τῷ βοῤῥᾷ· ἐπειδὴ καὶ μέγα ἐφρόνουν οἱ Ἰουδαῖοι, ὡς μόνοι τὴν Σιὼν οἰκοῦντες, δείκνυσιν ὁ λόγος ὡς τὰ ὄρη ταύτης ἐστιν ἑδραίωμα τῆς Σιών· τὸ κλῆμά ἐστι τοῦ βοῤῥᾶ, ὅπερ κλῆμα διὰ τῶν πλευρῶν δηλοῦται· ἀντὶ γὰρ τοῦ εἰπεῖν τὸ κλῆμα τοῦ βοῤῥᾶ, τὴν πλευρὰν εἴρηκεν· δείκνυσι, τουτέστιν Σιών ἐστι τὰ ἔθνη, τὰ παραδεξόμενα τὸ εὐαγγέλιον.

v. 8. Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θάρσις.

Πλοίοις Θάρσις, οἱονεὶ πολυστήμοις, πολυφόρους τοὺς βασιλεῖς παρεικάζει· πλοῖα δὲ συντρίβει βιαίῳ πνεύματι δι' οὗ συνέτριψεν νοητάς τινας δυνάμεις, δι' οὗ τοὺς ἐχθροὺς ἀποτρέπει.

v. 3. *Fundatur exsultatione universæ terræ; mons Sion, latera Aquilonis.*

Nempe Christus radicatus pulchre in *exsultatione universæ terrae.* Radix autem Christi Deus Verbum est, qui in ipso est. Primum quidem Paulus erat *latus Aquilonis,* a quo latere conflagrata sunt omnia mala terræ. Nunc vero factus est *mons Sion,* habens in semetipso Christum loquentem, eum qui « ex Sion venit, » et convertit se ab impietate, « a populo Jacob. » Jerusalem quidem ad meridiem sita est, gentes autem in Aquilone. Quoniam autem magnifice sentiebant Judaei, utpote soli montem Sion incolentes, Scriptura ostendit montes esse firmitatem Sionis. Inclinatio est in Aquilone, qui clivus per *latus* exprimitur. Ostendunt, id est pertinent ad Sion gentes, quæ recipient evangelium.

v. 8. *In spiritu vehementi conteres naves Tharsis.*

Navibus Tharsis, utpote in classe numerosis, reges multa munera afferentes assimilat. Naves autem confringit spiritu vehementi, quo contrivit spirituales potestates, quo inimicos evertit.

Ps. XLVII. v. 3. Vat. 5, 14. Rom. XI, 26.

Psalmus XLVIII.

v. 1. Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ψαλμός. *Vat.* 653, 2.

Δύναται δὲ καὶ εἰς τὴν ἑκάστου νίκην τῶν ἐν τῷ ἀγωνίζεσθαι νικώντων ἀναφέρεσθαι ἡ ἐπιγραφή.

v. 1. *In finem, filiis Core psalmus.*

Potest inscriptio referri ad victoriam quorumlibet in exantlatis certaminibus vincentium.

v. 1 Vat. 13. Paucula dedimus, indiculi instar, monituri ibidem Origeni tribui totum illud prooemium *de fine,* quod edidere BB. inter prolegomena Origenis in psalmos, idem vero corruptius inseri in opp. Basilii t. 1 p. 176, 177.

v. 2, 3. Ἀκούσατε αὐτὰ, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· οἵ τε γηγενεῖς, καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αυτὸ πλούσιος καὶ πένης.

Τρεῖς γὰρ εἰσὶν αἱ συζυγίαι τῶν κεκλημένων, ἐν αἷς ἅπαν τὸ τῶν ἀνθρώπων περιέχεται γένος· ἔθνη καὶ οἱ κατοικοῦντες τὴν οἰκουμένην, γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, πλούσιοι καὶ πένητες. — Ἡ πρώτη, ἔθνη, ὅσα εἰσὶν οἱ κατοικοῦντες τὴν οἰκουμένην, οἱ ἀλλότριοι τῆς πίστεως διὰ τῶν ἐθνῶν. Εἶτα μετὰ τούτους, γηγενεῖς, οἱ φρονοῦντες τὰ γήϊνα, καὶ τῶν θελημάτων τῆς σαρκὸς ἀντεχόμενοι. Εἶτα οἱ υἱοὶ ἀνθρώπων, οἱ ἐπιμέλειάν τινα καὶ ἄσκησιν τοῦ λόγου ποιούμενοι· ἴδιον γὰρ τοῦ ἀνθρώπου τὸ λογικόν· λοιπὸν, πλούσιοι καὶ πένητες· αὐτόθεν ἔχουσι γνωριζομένην τὴν ἰδιότητα, οἱ μὲν ὑπερβαίνοντες τὴν κτῆσιν τῶν ἀναγκαίων, οἱ δ' ἐν ἐνδείᾳ τούτων καθεστηκότες. Ἐπειδὴ δὲ ὁ ἰατρὸς τῶν ψυχῶν οὐκ ἦλθε καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν, πρῶτον ἔταξεν ἐν τῇ κλήσει ἐν ἑκάστῃ συζυγίᾳ τὸ κατεγνωσμένον μέρος. Χείρονα γὰρ τὰ ἔθνη τῶν κατοικούντων τὴν οἰκουμένην· ἀλλ' ὅμως προτετίμηνται εἰς τὴν κλῆσιν, ἵνα οἱ κακῶς ἔχοντες πρότερον μεταλάβωσιν τῆς ἐκ τοῦ ἰατροῦ ὠφελείας. Πάλιν, οἱ γηγενεῖς πρὸ τῶν υἱῶν τῶν ἀνθρώπων, καὶ πλούσιοι πρὸ τῶν πενήτων· τὸ ἀπεγνωσμένον τάγμα καὶ δύσκολον. πρότερον κέκληται τῶν πτωχῶν πρὸς τὴν σωτηρίαν. Τοιαύτη γὰρ ἐκ τοῦ ἰατροῦ φιλανθρωπία τοῖς ἀσθενεστέροις μεταδίδωσιν τῆς ὠφελείας. Ὁμοῦ δὲ καὶ εἰρήνης ἐστί συναγωγὸς ἡ κοινωνία τῆς κλήσεως, ὥστε τοὺς ἔχοντας τέως ἐκ τῶν ἐπιτηδευμάτων πρὸς ἀλλήλους ὑπεναντίως, τούτους διὰ τῆς ἐκκλησίας προστεθῆναι ἀλλήλοις εἰς τὴν ἀγάπην, μηδενὸς τῶν προτέρων ἀποτρεπομένου καὶ φεύγοντος, καὶ μάλιστα τῶν πλουσίων, ὅπερ ἀπεγνωσμένον τάγμα πρὸς σωτηρίαν καὶ

v. 2, 3. *Audite, omnes gentes; auribus percipite, omnes qui habitatis orbem, quique terrigenæ et filii hominum, simul in unum dives et pauper.*

Triplicis enim generis sunt binæ et binæ congregationes convocatorum, in quibus omne hominum genus continetur: *gentes et habitantes orbem, terrigenæ et filii hominum, divites et pauperes.* Prima classis est gentium et omnium quotquot habitant terram, qui per gentes alieni a fide sunt. Deinde post hos, *terrigenæ,* qui terrena sapiunt, et voluntates carnis amplectuntur; præterea *filii hominum,* qui rationis quamdam institutionem et exercitium habent; quia rationis usus proprie hominum est. Demum, *divites et pauperes,* quorum proprietas per se cognoscitur, illi quidem superabundant rebus necessariis, hi vero earumdem inopia laborant. Quum autem medicus animarum non venerit, « vocare justos, sed peccatores ad pœnitentiam, » id primum in vocatione posuit quod in qualibet conjugatione pars erat minoris spei. Deteriores enim sunt gentes quam hi qui orbem tenent habitatum, verumtamen in convocatione præpositæ sunt: ut qui male habent, prius a medico percipiant utilitatem. Rursus *terrigenæ* ante *filios hominum; et divites* ante *pauperes;* desperatus ille ordo et qui ægre salutem consequitur, prius vocatus est, quam pauperes. Hujusmodi enim est benignitas medici, prius opem ferre imbecillioribus. Simul etiam pacem conciliat communitas vocationis, adeo ut qui hactenus inter se studiis dissenserant, ob hunc conventum mutuæ assuescant charitati, nullo priorum agminum a cæteris separato et diffugiente, præsertim a divitibus, quorum genus

v. 2, 3. Vat. 10, 14. Cf. Matth. IX, 12. In fine id. XI, 15. Operæ pretium erit adire Basilium et Theodoretum. Huc etiam in nonnullis accedit Eusebius.

δύσκολον. Μήτε οὖν ὁ πλούσιος τὸν πένητα ὑπερηφανείτω, μήτε ὁ πένης τὴν δυναστείαν τῶν εὐπορούντων ὑποπτησάτω· μήτε οἱ υἱοὶ τῶν ἀνθρώπων τοὺς γηγενεῖς ἐξουθενείτωσαν, μήτε οἱ γηγενεῖς τούτων πάλιν ἀπαλλοτριούσθωσαν· καὶ τὰ ἔθνη ἐθιζέσθω πρὸς τοὺς κατοικοῦντας τὴν οἰκουμένην, καὶ οἱ τὴν οἰκουμένην οἰκοῦντες τοὺς ξένους τῶν διαθηκῶν διὰ τῆς ἀγάπης προσλαμβανέσθωσαν. — Ἢ καὶ οὕτως ἐδήλωσε τῶν ἐθνῶν τάτε ἄγρια καὶ ἐν ἐρήμοις σκηνοποιούμενα καὶ ἔθνη καλεῖ· καὶ ὅσα τὸν πολιτικὸν μετέρχεται βίον, τὰς γεωργουμένας οἰκοῦντα χώρας· οὓς πάλιν διῇλεν εἰς ἐλευθέρους καὶ τὸ οἰκετικόν, ἤγουν εἰς τοὺς ἀγροικοτέρους καὶ τοὺς ἄλλους εὖ γεγονότας, τοὺς ἐλευθερίως τραφέντας, οὓς υἱοὺς ἀνθρώπων εἶπεν. — Ὁ δὲ Ἀκύλας τὴν οἰκουμένην κατάδυσιν ἐξέδωκε, τὰς οἰκήσεις οὕτως εἰπών· ἀντὶ δὲ τοῦ γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων, ὁ Σύμμαχος εἶπεν· ἥτε ἀνθρωπότης καὶ προσέτι καὶ υἱοὶ ἑκάστου ἀνδρός, ἵν' ᾖ τὸ μὲν καθολικόν, τὸ δὲ μερικόν. — Ἀκοὴν δὲ τὴν συνετῶς δεχομένην οὐ τὴν κοινήν, πρὸς τὰ ἄλογα, κατὰ τό· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

v. 4. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδιάς μου σύνεσιν.

Κατὰ γὰρ τὸν ἀπόστολον· Καρδία πιστεύεται εἰς δικαιοσύνην, στομάτι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Δεῖ γὰρ προαποκεῖσθαι τὸ ἀγαθὸν ἐν τῷ θησαυρῷ, εἶτα προφέρεσθαι διὰ στόματος, ἵνα μὴ λεχθῇ· Σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις; χρὴ γὰρ διὰ μὲν τῶν ἄλλων ὠφέλειαν λαλεῖν· δι' ἡμᾶς δὲ αὐτοὺς μελετᾶν τῇ καρδίᾳ.

est minus spei compos et saluti obvium. Neque igitur dives pauperem despiciat, neque pauper formidet locupletem potentiam; neque filii hominum terrigenas parvipendant, nec rursus ab illis sese avertant terrigenæ; immo gentes, cum iis qui habitant orbem, necessitudine jungantur, et qui orbem habitant, peregrinos a testamentis per charitatem suscipiant. Vel hac interpretatione declaravit, inter populos alios esse silvestres et in solitudinibus tabernacula excolentes, quos *gentes* vocavit; et alios qui civili potiuntur ritu et locos inhabitant aratro cultos, quos iterum distribuit in liberos et domesticos, hos videlicet vitæ asperioris, illos autem prospere degentes, libertate enutritos, quos *filios hominum* dixit. Aquila autem *terram habitatam* vertit *latibulum*, sic vocans eorum habitacula; sed pro *terrigenæ et filii hominum* Symmachus dixit: *humanitas*, deinde *filii cujuscumque hominis*, ut primum adesset totum genus, dein singula pars. — *Auditum* vero dicit illum qui probe intelligit, non communem auditum non qualem habent jumenta, sed juxta illud: « Qui habet aurem audiendi, audiat. »

v. 4. *Os meum loquetur sapientiam, et meditatio cordis mei prudentiam.*

Juxta enim apostolum : « Corde creditur in justitiam, ore autem confessio fit ad salutem. » Oportet enim bonum in thesauro prius deponere, deinde illud per os promere, ne dicatur: « Sapientia absconsa et thesaurus non visus, quæ utilitas in utrisque? » oportet enim etiam pro aliorum utilitate loqui, pro nobis autem ipsis corde meditari.

v. 4, 5. Vat. 10, 13, 14 Cf. Rom. x, 10 Eccli. xx, 32 Matth. xiii, 51. Basilium et Eusebium Origeni codd. addunt, hunc de more expilatorem Origenis, illum Adamantini studiosissimum, teste *Philocalia*. Nec displiceat comiuus cernere quomodo Magister a magistro retractetur, confirmante Vat. 13. τρεῖς δὲ κτλ. ut edd. BB. cf. infra ps. LVII.

v. 5. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

Ταῦτα δὲ καὶ ἀπὸ τῶν ἀποστόλων δύνασθαι λέγεσθαι. Παραβολὰς δὲ καλεῖ τοὺς αἰνιγματώδεις λόγους. Καὶ γὰρ ὁ Κύριος παραβολικῶς τοῖς ὄχλοις διαλεγόμενος, τοῖς ἀποστόλοις κατ' οἶκον τούτων τὰς ἑρμηνείας προσέφερε. Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ἔλεγε· Τὸ στόμα μου λαλήσει σοφίαν. Τοῦτον γὰρ θεολογοῦντες πᾶσιν ἀνθρώποις ἐκήρυττον, ἠκονημένοι δὲ τὸν νοῦν ὡς συνιέναι πάσας τοῦ Χριστοῦ τὰς παραβολὰς καὶ πρὸ τῆς αὐτοῦ ἑρμηνείας. Διὸ μετὰ ταύτας ὁ μὲν σωτὴρ ἔλεγε· Συνήσατε ταῦτα πάντα; οἱ δὲ λέγουσιν αὐτῷ· Ναί. Ἡ καρδία τοίνυν αὐτῶν ἐμελέτα συνήσεις, ἃς ἤνοιγον τοῖς μὴ παρακολουθεῖν δυναμένοις διὰ τοῦ σωματικοῦ ὀργάνου, τῇ ἐνοικούσῃ πρὸς τοῦτο διακονοῦντος ψυχῇ. Τοῦτο γὰρ ἀντὶ ψαλτηρίου παρέλαβε πρὸς τὴν διὰ τούτων θείων ὕμνων ἀνάκρουσιν, ἑκάστου μέρους ἐπιστημονικῶς ἐν αὐτῷ κινουμένου.

v. 6. Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ φοβηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.

Ἀλλ' ἐκεῖ μὴ τοιοῦτοι ἦσαν οἱ ἅγιοι ἀπόστολοι, ἤγουν ὁ προφήτης ταῦτα λέγων ὥστε λεχθῆναι περὶ αὐτῶν· ἁμαρτίαν οὐκ ἐποίησαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτῶν· εἰκὸς αὐτοὺς ἡμαρτηκέναι τὰ τελευταῖα καὶ τὰ ἔσχατα καὶ τὰ βραχύτατα, ἅπερ εἴρηται· Ἡ ἀνομία πτέρνης αὐτῶν κυκλώσει αὐτούς. — Ἢ ὡς Σύμμαχος ἀνομίαν ἰχνέων αὐτοῦ ἐξέδωκεν. Οἱονεὶ γὰρ ἴχνη ἀδρανῆ καὶ ἀμαυρὰ ἀνομίας ἦν αὐτοῖς μόνα. Διόπερ φησίν· Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ φοβερᾷ τῆς τοῦ Θεοῦ κρίσεως; — Εἰ δὲ ἐν προσώπῳ τοῦ Κυρίου, τὸ λέγον πτέρναν αὐτοῦ, εὕρεις τὸν ἔσχατον τοῦ σώματος καὶ τῇ γῇ πλησιάζοντα Ἰούδαν. Σῶμα γὰρ Χριστοῦ οἱ ἀπόστολοι. Οὐ φοβοῦμεν οὖν τὴν ἀνομίαν

v. 5. *Inclinabo in parabolam aurem meam, aperiam in psalterio propositionem meam.*

Hæc vero etiam ab apostolis dici possunt. Parabolas vero vocat sermones ænigmate involutos. Nam et Dominus per similitudines turbis locutus, privata consuetudine apostolis tradebat illarum interpretationes. Christus enim « virtus et sapientia Dei, » hoc dixit: « Os meum loquetur sapientiam. » Hi vero Christum Deum professi, cunctis hominibus eum nuntiabant. Mente autem sat acuti erant, ut intelligerent omnes Christi parabolas, ante ipsarum interpretationem. Ideo his præmissis, Salvator aiebat: « Intellexistis hæc omnia? Et ipsi respondent: Ita. » Interea cor eorum meditabatur intellectum oraculorum, quæ aperiebant his qui minus assequi poterant, per corporeum organum menti in eo inhabitanti inserviens. Hoc quippe organum pro psalterio assumpsit, ut super illud hymnos in honorem Dei pulset, singula corporis membra scite movens.

v. 6. *Cur timebo in die mala? Iniquitas calcanei mei circumdabit me.*

Verum enim vero quum ita non essent sancti apostoli, scilicet ut de illis sic loquatur propheta, aut de illis dici queat: « Peccatum non fecerunt, et dolus non est inventus in ore eorum; » verosimile est, peccavisse extremam eorum et ultimam et minimam partem, qua dictum est: « *Iniquitas calcanei* eorum *circumdedit* eos. » Vel ut edidit Symmachus: *iniquitatem vestigiorum ejus.* Nam solummodo quasi vestigia debilia et obscura iniquitatis in eis stant, unde ait: *Cur timebo in die mala* divini judicii? Si in persona autem Christi, dictus est *calcaneus ejus,* invenis esse novissimam corporis ejus partem, et quæ terræ vicina

v. 6. Vat. 10. Cf. Joan. 1, 47. Field. II, 170.

τῆς πτέρνης, τουτέστιν τὴν προδοσίαν τοῦ Ἰούδα, ἐν τῷ καιρῷ τοῦ σταυροῦ.

est, Judam. Corpus enim Christi erant apostoli. Non timemus igitur *iniquitatem calcanei,* id est Judæ proditionem, in tempore crucis.

v. 17, 18. Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος..., καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν, λήψεται τὰ πάντα.

Οὐδὲν γὰρ, φησὶν ὁ Παῦλος, εἰσενέγκαμεν εἰς κόσμον, δηλονότι οὐδὲ ἐξενέγκαι τι δυνάμεθα. Καὶ ὁ μὲν Παῦλος καὶ οἱ κατ' αὐτοῦ οὕτως· οἱ δὲ ἁμαρτωλοὶ οὐχὶ οὐδὲν, ἀλλ' οὐ πάντα· τὰ μὲν γὰρ χρήματα ἐνταῦθα καταλιμπάνουσι· τὰς δὲ ἐξ αὐτῶν ἁμαρτίας προσγενομένας μεθ' ἑαυτῶν ἐκφέρουσιν.

v. 17, 18. *Ne timeas, quum dives factus fuerit homo, et cum multiplicata fuerit gloria domus ejus: quoniam cum interierit, non sumet omnia.*

«Nihil enim, inquit Paulus, attulimus in mundum, utique nihil auferre possumus.» Sic Paulus, sic cæteri ejus discipuli. Peccatores autem ne *nihil* quidem, et neque *omnia* sument. Suas enim possessiones hic relinquunt, sed peccata quæ ex his rebus patrarunt, secum efferunt.

v. 17, 18. Vat. 5. I. Tim. VI, 7.

Psalmus XLIX.

v. 3. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται πῦρ ἐναντίον αὐτοῦ, καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. *Vat.* 654, 2.

Εἰ ὁ Θεὸς ἡμῶν ἐμφανῶς ἥξει, ὁ δέ ἐστι Χριστὸς, ἀλλ' ὁ Χριστὸς ἐλήλυθεν ἐν σαρκὶ, τὸ ἐμφανῶς ἄρα νῦν σάρκα δηλοῖ· αἰσθητὴ γὰρ ἦν ἡ σὰρξ τοῦ Χριστοῦ, ἵνα τοῖς ἀξίοις διὰ τὴν εὐσέβειαν ἑαυτὸν παραδῷ σφόδρα. Πάντα καὶ ὁ μακάριος ἐθεάσατο Δανιήλ· Ποταμὸς γὰρ προσεῖλκε ἔμπροσθεν αὐτοῦ, καὶ ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, καὶ τροχὸς αὐτοῦ πῦρ φλέγον. Πῦρ δὲ ἦλθε βάλλειν ἐπὶ τὴν γῆν. Πῦρ δὲ ἐνταῦθα διδασκαλίαν τοῦ Θεοῦ Λόγου σημαίνει· ὅπερ πῦρ καίει μὲν τὰς μοχθηρὰς ἕξεις, δοκιμάζει δὲ τοὺς καθαρούς· διὰ γὰρ τοῦτο κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. Ὅσοι γὰρ θέλουσιν ζῆν εὐσεβῶς ἐν Χριστῷ, διωχθήσονται. Ἀλλὰ καί· Θλῖψιν, φησὶν, ἕξετε ἐν τῷ κόσμῳ.

v. 3. *Deus manifeste veniet, Deus noster, et non silebit; ignis in conspectu ejus exardescet, et in circuita ejus tempestas valida.*

Si Deus noster manifeste sit venturus, ille vero Christus sit, et cum Christus venit in carne, carnem ergo significat illud: *manifeste;* sensu enim caro Christi cernitur, ut his qui digni sunt per pietatem se omnino traderet. Cuncta autem beatus Daniel contemplabatur: «Fluvius enim, inquit, trahebat in conspectu ejus; et thronus ejus, flamma ignis, et rota ejus, ignis ardens. Ignem vero venit mittere in terram.» Ignis autem in hoc loco doctrinam verbi sui significat; qui quidem ignis incendit nefarios actus, probat vero eos qui puri sunt. Propterea « in circuitu ejus tempestas valida. » « Quicumque enim volunt pie vivere in Christo, persecutionem patientur. » Sed et dicit: « Pressuram habebitis in hoc mundo. »

Ps. XLIX, v. 3. Vat. 2, 5, 14. Cf. BB ad h. l. Euseb. apud Corder. 1, 965. Dan. VII, 10. Luc. XII, 49.

v. 4. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, διακρῖναι τὸν λαὸν αὐτοῦ.

Ζώντων γὰρ καὶ νεκρῶν ἐστι κριτής, διότι πᾶσαν τὴν κρίσιν ἔδωκεν ὁ Πατὴρ τῷ Υἱῷ.

v. 14. Θῦσον τῷ Θεῷ κτλ.

v. 15. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε.

Ὁ αὐτός ἐστι Θεός τε καὶ ὕψιστος καὶ ῥυόμενος ἀπὸ θλίψεως. Αἰνέσεως δὲ λέγει θυσίαν τοῖς δικαίοις πρέπον τοῦ ὑμνεῖν, εὐχὰς δὲ τὰς ὑποσχέσεις· οὕτω γὰρ καὶ ἀλλαχοῦ· Καὶ εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω.

v. 16. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου;

Οὐ γὰρ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ. Εἰ γὰρ πάσας ἅμα παραβαίνει τὰς ἐντολάς, καὶ πᾶσαν ἐπιτηδεύει κακίαν, τί καὶ τὰς θείας ἐπὶ στόματος ἐκφέρει γραφὰς ὁ ἁμαρτωλός; διὰ στόματος ἀναλαμβάνει τὴν διαθήκην τοῦ Θεοῦ; μισεῖ γοῦν παιδείαν καὶ ἁμαρτάνει. Ἢ ἐπεὶ ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτοῦ ἀπέχει ἀπ' ἐμοῦ.

v. 4. *Advocabit cœlum desursum et terram discernere populum suum.*

Viventium enim et mortuorum judex est, quoniam « omne judicium dedit Pater Filio. »

v. 14. *Immola Deo (vide t. II, p.* 338*).*

v. 15. *Et invocabis me in die tribulationis, et eripiam te.*

Idem Deus est et altissimus, et qui eripit ab angustiis. *Sacrificium* autem *laudis* ait hymnos dicere, quod justos decet; vota vero promissiones. Ita et alibi: « Vota mea Domino reddam. »

v. 16. *Peccatori autem Deus dixit: Quare tu enarras judicia mea?*

Haud pulchra enim laus in ore peccatoris. Namque si omnia præcepta transgreditur, et omni malitiæ studet, ut quid adhuc divinas litteras in ore habet peccator? Per os assumit testamentum Dei? Spernit enim disciplinam, et peccat. Vel: « quoniam hic populus labiis me honorat, cor autem ejus longe est a me. »

v. 4. Vat. 5.
v. 14. Scholium retulimus ad Seniores Alexandrinos inter rarissima fragmenta tomi superioras, de quibus cf. ps. L, 14, LIV, 14 infra.
v. 15. Vat. 14. Ps. LX, 9.
v. 16. Vat. 14, Matth. XV, 8.

Psalmus L.

v. 6. Καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. *Vat.* 645, 1.

Νικᾷ Θεός, πάντα τὰ συντελοῦντα ποιήσας πρὸς σωτηρίαν.

v. 9. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χίονα λευκανθήσομαι.

Ὁ ὕσσωπος σύμβολόν ἐστιν ἀπαθείας, καὶ ἡ πλύσις γνῶσιν σημαίνει. Καὶ διὰ μὲν ἀπαθείας καθαριζόμεθα, διὰ δὲ τῆς γνώσεως γλυκαινόμεθα.

v. 6. *Et vincas cum judicaris.*

Vincit Deus, quum omnia fecit quæ salutem adimplent.

v. 9. *Asperges me hyssopo et mundabor; lavabis me et super nivem dealbabor.*

Hyssopus symbolum est quieti animi, et lavatio signat scientiam. Per animi æqualitatem puri efficimur; per scientiam autem dealbamur.

Ps. L, v. 6, 9. Vat. 5.

v. 10. Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.

Ἀκουστὴν, φημὶ, γενέσθαι μοι παρασκευήσεις πάλιν, τὴν διὰ τοῦ ἁγίου Πνεύματος, ἐν ἐσχάτοις καιροῖς ἐσομένην ἀγαλλίασιν. Τίς δ' ἂν εἴη αὐτῇ, ἢ ἐκείνη ἡ γνῶσις, ἡ περὶ τῆς ἀναστάσεως; ἣν καὶ ἐδίδαξεν εἰπών· Ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα ποτε, ἢ κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν, καθ' ὃν τὰ ὀστᾶ ἡμῶν ὡς βοτάνη ἀνατελεῖ. — Ἐγὼ μέντοι συγγνώμης οὐδεμίας ἄξιον ἑαυτὸν νομίζων, μετὰ τοσαύτας δωρεὰς γενόμενος, ὡς καὶ τοὺς ἄλλους διδάξαι τὴν τοῦ Μονογενοῦς ἐνανθρώπησιν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν, καὶ τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, τὰ μεγαλοπρεπῆ τοῦ βαπτίσματος, δῶρα ταῦτα πάντα προδιδαχθεὶς, ἱκετεύω μετασχεῖν ἐκείνης τῆς χάριτος. — Ἀγαλλίασίς ἐστι χαρὰ ἐπὶ καλοῖς.

v. 13. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σοῦ, καὶ τὸ Πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Εὔχεται μὴ πόῤῥω στερεισθῆναι τῆς θείας κηδεμονίας (ταύτην γὰρ ἐνταῦθα ἐκάλεσε πρόσωπον), μηδὲ γυμνωθῆναι τῆς τοῦ παναγίου Πνεύματος χάριτος, ὃ καὶ αἴτιον πάντως τοῦ λαβεῖν τὸ προφητικὸν πνεῦμα καὶ χάρισμα.

v. 14. Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Πολλοὶ δὲ ἐνταῦθα πνεῦμα ἡγεμονικὸν ἐκάλεσαν τὸν αὐτοκράτορα λογισμόν.

v. 20. Καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τὰ τείχη Ἱερουσαλὴμ τὴν ἀπάθειαν σημαίνει τῆς ψυχῆς, ἥντινα διαφθείραντες οἱ

v. 10. *Audituі meo dabis gaudium et lætitiam, exultabunt ossa humiliata.*

Auditam, inquam, mihi præstandam curabis iterum, scilicet per sanctum Spiritum, futuram in postremis temporibus exultationem. Quæ autem illa est, nisi illa cognitio resurrectionis, quam hisce verbis docuit: *Exultabunt ossa humiliata* aliquando, sive in tempore resurrectionis, juxta illud: « Ossa nostra quasi herba germinabunt. » — Ego interea indignum me quacumque venia reputans, post tanta munera id nactus ut cæteros edoceam Unigeniti incarnationem, et passionem, et resurretionem, et peccatorum remissionem, et magnifica decora baptismatis, omnia hæc dona prius eruditus, supplex precor particeps esse ejusdem gratiæ. — Exultatio est lætitia pro bonis receptis.

v. 13. *Ne projicias me a facie tua, et Spiritum sanctum tuum ne auferas a me.*

Postulat non longe privari divina tutela (hanc enim vocavit *faciem*), neque spoliari gratia sanctissimi Spiritus, qui omnino fons est, a quo recipitur prophetarum spiritus et donum.

v. 14. *Et spiritu principali confirma me.*

Plures hic spiritum principalem vocaverunt præcipuam cogitandi facultatem.

v. 20. *Et ædificentur muri Jerusalem.*

Muri Jerusalem signant innocuæ tranquillitatem animæ, quam dæmones quum

v, 10. Vat. 5, 14. Cf. Euseb. apud Corder. p. 999. Ps. LXVI, 14. Ac vide humillimum Alexandrinæ catecheseos magistrum solita se modestia prodentem.

v. 13. Ex cod. Crypto - ferrat. A. γ' 11, fol. 128, quantum licuit fessis oculis, favente luce Tusculana, plura per crystalla introspicere arcanum illum codicem lynceis obtutibus reservatum, scholiolum novum accepi, etiam rei dogmaticæ haud supervacaneum, neque ab Athanasiana doctrina alienum; statim enim cod. pergit: κατὰ γὰρ μέγαν Ἀθανάσιον κτλ.

v. 14. Vat. 14.

v. 20. Vat. 2, 5. Locus Salomonis me fugit.

δαίμονες, τὰ τῆς μοιχείας πάθη εἰσένεγκαν· διὸ καὶ εὔχεται οἰκοδομηθῆναι ταῦτα τὰ τείχη. Καὶ ὁ Σολομὼν δέ φησιν· Οἱ δὲ ἀγαπῶντες τὸν νόμον, παραβαλοῦσιν ἑαυτοῖς τείχη, τουτέστιν γένονται καθαροὶ καὶ ἀπαθεῖς.

corruperint, adulterii flagitia invexerunt. Ideo deprecatur talia mœnia ædificentur. Et Salomon ait: « Qui diligunt legem, sibi immittent muros, » id est puri fiunt et cupidatum immunes.

Psalmus LI.

v. 3. Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν; *Vat.* 656, 1.

Οὐκ εἶπεν ὄνομα μέσον, ἐμφαῖνον τὸ φαῦλον· οὐ γὰρ εἶπεν· Τί καυχᾷ; ἀλλά· Τί ἐγκαυχᾷ; οὐδέποτε γὰρ ἐπ' ἀγαθῷ λέγεται ἐγκαυχᾶσθαι ὁ σοφός. Μὴ καυχάσθω καὶ ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος συνιεῖν καὶ γινώσκειν ὅτι ἐγώ εἰμι Κύριος, ὁ ποιῶν ἔλεος. Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενος ἐν ταῖς θλίψεσιν· οὐκ ἔνι δὲ ἐγκαυχᾶσθαι καλῶς, ἀλλ' εἴ τις ἁμαρτάνει, ἐγκαυχᾶται. Δύναται δὲ καὶ πρὸς τὸν Σαοὺλ ὁ λόγος εἰρῆσθαι.

v. 3. *Quid gloriaris in malitia, qui potens es iniquitate?*

Ut malam partem significet, haud usus est verbo simplici; non enim dixit τί καυχᾷ, sed composite τί ἐγκαυχᾷ. Neutiquam enim in bono sensu sapiens dicitur sic gloriari (ἐγκαυχᾶσθαι). Absit ita glorietur sapiens in sapientia ejus; immo quicumque gloriatur, in eo glorietur, scilicet « intelligere et cognoscere, quia ego sum Deus faciens misericordiam. » Neque hoc solum: sed est qui gloriatur etiam in pressuris. Verum non licet probe ἐγκαυχᾶσθαι, sed si quis peccat, eo modo gloriatur. Potest etiam sermo ad Saulem respicere.

v. 4. Ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου, ὡσεὶ ξυρὸν ἐξηκονημένον ἐποίησας δόλον.

Τί οὖν φησιν; ἀλλὰ μήτε λανθάνῃ ἡμᾶς ἐν τῷ τόπῳ μυστήριον. Ἔστι τὸ ῥητὸν οὕτως ἔχον· ἐν στόματι μωρῶν ἡ καρδία αὐτῶν. Ἐπιπόλαιός ἐστιν, οὐκ ἔστιν ἐν τῷ βάθει, ἀλλ' ἐξεπήδησεν ἡ καρδία ἐπὶ τῶν

v. 4. *Tota die injustitiam cogitavit lingua tua; sicut novacula acuta, fecisti dolum.*

Quid ergo dicit? At nos minime fugiat in hoc loco mysterium. Sic se sententia habet: « In ore fatuorum corda eorum. » Fatuum cor a superficie stat, non profundo inest, sed exsilit ad labia stul-

Hilarius. ad v. 4. Sed dicti hujus perfecti et prophetici auctoritatem et alius propheta demonstrat dicens: « In ore stultorum cor eorum est, »... quia non quod cogitaverint, loquentur, sed quod locuti fuerint, cogitabunt. Et hoc quidem de lingua stulti. At vero de lingua sapientis ita legimus: « Lingua intelligentis meditabitur sapientiam. » (Ps. xxxvi, 30?)

Ps. li, v. 3. Vat. 10, 16. Cf. Jerem. ix, 23, 24. 1. Cor. 1, 31. ii. Cor. xii, 9. Initium habent BB, et nonnulla Eusebius. Ex his autem et sequentibus colligere est præsto fuisse plenum Origenis commentarium Hilario, qui legisse videtur: *quid gloriatur*, ut legit et Augustinus, ubi aptissime Maurini notant utrumque habuissa ἐγκαυχᾷ active ab ἐγκαυχάω, non ab ἐγκαυχάομαι.

v. 4. Vat. 16, partim Vat. 3, 6. Quædam excerpsit hic et infra de more suo Theodorus Heracleota. Cf. Eccli. xxi, 29.

χειλέων αὐτῶν. Καρδία δὲ σοφῶν οὐ στόμα αὐτῶν. Ἐπεὶ τοίνυν μωρός ἐστι καὶ οὗτος διάβολος, ὧν εἴτε Δωὴκ εἴτε Σαοὺλ ἁμαρτήσας, διὰ τοῦτό φησιν· Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. Καὶ ἀλλαχοῦ λέγεται περὶ τῶν ἄδικα λεγόντων· Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως. Ἀλλ' ἐκεῖ μέν, ἵνα παραστήσῃ πῶς ὀξεῖά ἐστιν ἡ διαβολή.

sorum. Cor autem sapientium non est os illorum. Quum itaque calumniator fatuus esset, sive sit Doeg, sive Saul peccans, idcirco ait: *Injustitiam cogitavit lingua tua*. Et alibi dicitur de iniqua loquentibus: « Exacuerunt linguam ipsorum sicut serpentis. » In eo quidem loco facta est comparatio, exacuisse linguam sicut serpentem. Hactenus hæc, ut instituatur quam acuta sit calumnia.

v. 5. Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην.

Οὐ τοῦτο λέγει, ὅτι ἀγαθωσύνην μὲν ἐμίσησας, κακίαν δὲ ἠγάπησας· ταύτας δὲ οὕτως ἠγάπησας, ὡς κακίαν μᾶλλον ἠγάπησας ἀγαθωσύνης· τοιοῦτόν ἐστι καὶ τὸ ἐν τοῖς εὐαγγελίοις κείμενον, τό· Ἠγάπησαν οἱ ἄνθρωποι τὸ σκότος μᾶλλον ἢ τὸ φῶς.

v. 5. *Dilexisti malitiam super æquitatem.*

Non dicere est: odisti bonitatem, et *dilexisti* malitiam. Verum utramque ita dilexisti, ut malitiam magis amaveris quam bonitatem; id ipsum est, quod exstat in Evangeliis: « Amaverunt homines magis tenebras quam lucem. »

Hil. v. 5. Doli hujus crimen ex comparatione fit gravius, cum malitia diligitur, bonitate neglecta; cum iniquitas agitur, prætermisso sermone justitiæ. Hunc propensæ malitiæ effectum Dominus in evangeliis condemnat dicens: « Dilexerunt homines tenebras magis quam lumen. »

v. 5. Vat. 5, 14.

Psalmus LII.

v. 5. Οἱ ἐσθίοντες τὸν λαόν μου βρώσει ἄρτου. *Vat.* 655, 2.

Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμοὶ κακοῦντες τὰς σάρκας μου.

v. 6. Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.

Διχοτομήσει τὸ μέρος τῶν ὑποκριτῶν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ὅταν ἀπὸ Θεοῦ ῥιφῶσιν οἱ ἁμαρτωλοί, τότε λαμβάνουσιν τὴν αἰσχύνην τὴν αἰωνίαν, ὥσπερ οἱ Ἰουδαῖοι. Τότε ἐρεῖ γὰρ αὐτοῖς· Οὐκ οἶδα ὑμᾶς.

v. 5. *Qui devorant plebem meam sicut escam panis.*

Quando me appropinquant qui affligunt carnes meas.

v. 6. *Quoniam Deus dissipavit ossa eorum qui hominibus placent, confusi sunt, quoniam Deus sprevit illos.*

Dividet partem hypocritarum, in die judicii, quando dejicientur a Deo peccatores; æternam hinc assument verecundiam, sicut Judæi. Dicet enim ad illos: « Nescio vos. »

Ps. lii, v. 5. Vat. 5. Vat. B ἐσθοντες sic, cujus aperta sphalmata negligimus; alias κατεσθίοντες τ. λ. μ. ἐν βρώσει.

v. 6. Vat. 6. Cf. Matth. xxiv, 51; xxv, 18.

Psalmus LIII.

v. 3. Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με. *Vat.* ibid.

Εἰ ἡ σωτηρία τῆς λογικῆς φύσεως ἡ γνῶσίς ἐστιν ἡ τοῦ Θεοῦ, ὁ δὲ Δαυὶδ ἐν τῷ ὀνόματι τοῦ Θεοῦ θέλει σωθῆναι, τὸ ὄνομα τοῦ Θεοῦ οὖν τὴν γνῶσιν σημαίνει, τὴν τοῦ Θεοῦ.

v. 7. Ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

Ὁ Χριστός φησιν. Ἐγώ εἰμι ἀλήθεια.

v. 9. Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με.

Ὡς μὴ ἐκ πάσης θλίψεως ῥυομένου ἀπὸ τοῦ Θεοῦ, τεθεῖται τοῦτο ἐκ πάσης κτλ.

Hilarius. v. 7. Et quæ sit veritas, non ambigimus, nempe ille ipse qui dixit:

v. 3. *Deus, in nomine tuo salvum me fac.*

Si rationalis naturæ salus cognitio Dei sit, David vero dicat, in nomine Dei velle se salvum fieri, nomen ergo Dei nunc significat eam cognitionem quæ ad Deum attinet.

v. 7. *In veritate tua disperde illos.*

Christus ait: « Ego sum veritas. »

v. 9. *Quoniam ex omni tribulatione eripuisti me.*

Hoc dicitur, ac si nondum ex omni ærumna a Deo ereptus fuisset.

« Ego sum vita, via, veritas. »

Ps. liii, v. 3, 7, 9. Vat. 5. Joan. xiv, 6.

Psalmus LIV.

v. 3, 4. Πρόσχες μοι, καὶ εἰσάκουσόν μου· ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. *Vat.* 657, 1.

Ἀδολεσχία ἐνταῦθα σημαίνει τὴν εὐχήν, ὡς καὶ ἐν τῇ πρώτῃ τῶν βασιλειῶν, τῆς Ἄννης λεγούσης· Ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέτακα ἕως νῦν· περὶ γὰρ τῆς προσευχῆς αὐτῆς τοῦτο λέγει. — Πάντα ὅσα πράττομεν παρὰ τὸν ὀρθὸν λόγον ἢ τὸν νόμον, ἀδολεσχία ἐστι, καὶ ὅσα εἰκῇ λαλοῦμεν. Λέγει οὖν οὕτως, ὥσπερ καταγνοὺς ἑαυτοῦ πρῶτον ἐπὶ τῷ τεταράχθαι, καὶ τὴν εἰρήνην μὴ κατεσχηκέναι, ἀλλ' ἀπολέσαι τὴν γαλήνην τῆς ψυχῆς, ἐπὶ τῇ φωνῇ τοῦ ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Ἄγων πολύς μοί

v. 5. *Intende mihi, et exaudi me: contristatus sum in exercitatione mea, et conturbatus sum a voce inimici et a tribulatione peccatoris.*

Exercitatio in hoc loco orationem significat, ut in primo libro Regum, Anna dicente: « Ex multitudine exercitationis meæ extabui usque nunc. » Hoc quippe de sua oratione dicit. — Omnia quæcumque nos agimus præter rectam rationem aut citra legem, exercitatio est, sicut et quæcumque temere loquimur. Sic igitur ait, tamquam se ipsum condemnans, primum quod fuerlt turbatus, nec pacem retinuerit, sed amiserit animæ tranquillitaten, propter vocem

Ps. liv, v. 3. Vat. 2, 3, 6. Præivere BB cum lacunis et serie perturbata. Cf. 1 Reg. 1, 16. — Vulg. *in multitudine doloris et mœroris mei.* Ἀδολεσχία nonnihil ambigua vox non semel Origenem sollicitavit.

v. 4. Vat. 2, 3, 6. — ποιῶσιν Vat. 6.

πίονα καὶ εὔτροφα τῶν ζώων ἡδύτερα, οὕτω καὶ τῶν πνευματικῶν εἴη ἄν τινα ἀνάλογα τοῖς κατὰ σάρκα πίοσι. Διόπερ τοῦτο εἰδὼς παρὰ τὴν τῆς ψυχῆς τροφὴν ὑποδέχουσαν τοῦ σώματος, ὁ προφήτης εὔχεται λέγων περὶ αὐτῆς τό · ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου. Τοιαῦτά γε ἦν καὶ τὰ κατὰ τὴν παραβολὴν τοῦ μόσχου τοῦ σιτευτοῦ. — Τὸ ἐν Θεῷ δὲ ἀγαλλιᾶν καὶ εὐφημεῖν νομίζω μὴ δύνασθαι κατορθοῦσθαι ἡμῖν χωρὶς τῆς ἀπὸ τῶν καλουμένων πτερύγων τοῦ Θεοῦ σκεπῆς, τουτέστι τῶν ἀρετῶν αὐτοῦ· ταύταις γὰρ ὑψοῦται, καὶ μετεωρίζεται, καὶ μεγαλύνεται ὁ Θεὸς, ὑφ' ἃς γενόμενοι, ἅτε δὴ ἁπλούμενοι διέμειναν ἡμῖν, δεκτικοὶ αὐτῷ γενόμεθα.

nutrita animalium ea sunt suaviora, ita et in rebus spiritualibus possit esse aliqua proportio cum carnibus delicatis. Idcirco id intelligens de animæ dapibus quæ corpori præstant, propheta exorat, dicens respectu ad eam: *Sicut adipe et pinguedine repleatur anima mea.* Hujusmodi erat parabola vituli pinguis. — Hanc vero in Deo exultationem et acclamationem censeo non posse a nobis recte fieri extra tegumentum alarum quæ protectio Dei dicuntur, id est extra virtutes ejus. Hisce quippe exaltatur et attollitur et magnificatur Deus. Quae si super nos sunt, ceu extensae desuper nobis immanent, tum acceptabiles ipsi efficimur.

v. 9. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου.

[Τὰ] ὀπίσω τοῦ Θεοῦ ἐστὶ τὰ μετὰ τὸν Θεὸν, ἅτινα ἐπαγγέλλεται καὶ Μωϋσῇ δειξείη.

v. 9. *Adhæsit anima mea post te.*

Post Deum sunt ea quæ cum Deo stant, qualia Moysi promissa sunt ut ostendantur.

v. 10. Αὐτοὶ δε εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου · εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.

Τούτους εὔχεται προφητικῶς ἀπὸ τῆς ἐπιφανείας ὠθουμένους τῆς γῆς εἰς τὰ ταύτης παχύτερα κατελθεῖν· ὅπου μὴ δύνανται κατὰ τῶν ἀγωνιζομένων ἐν ἀνθρωπίνῳ σώματι ἐνεργεῖν, εἰ καὶ μόνον εἰρῆσθαι περὶ τῶν ζητούντων τὴν ψυχὴν τοῦ εὐχομένου δοκεῖ. Κατώτατα δὲ τῆς γῆς ἡ ἄβυσσος, ἔνθα χωρήσουσιν. Διόπερ ἐν εὐαγγελίῳ τῷ Σωτῆρί φασιν· Ἦλθες ἡμᾶς πρὸ καιροῦ βασανίσαι, μὴ πεμφθῆναι εἰς τὴν ἄβυσσον ἤδη δεόμενοι, εἰς δὲ χοίρους εἰσελθεῖν ἐπιτρέψαι.

v. 10. *Ipsi autem in vanum quærebant animam meam; introibunt in inferiora terræ.*

Prophetice vaticinatur de his qui ex splendore hujus terræ coguntur in crassiora descendere, ubi jam non possunt in humano corpore cum decertantibus luctari, quamvis illud videatur solummodo dictum de his qui quærunt animam deprecantis. Inferiora autem loca terræ sunt abyssus, quo dæmonia ibunt; idcirco in evangelio Salvatori dicunt: « Venisti ante tempus torquere nos, » jam non mitti in hanc abyssum rogabant, sed permitteret eos intrare in porcos.

v. 11. Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.

Ἀναιρεθήσονται, φησὶν, οὐχ ὑπὸ δυνατῶν πολεμίων, ἀλλ' ὑπὸ τῶν προσοικούντων· οἳ καθάπερ τεθήκασίν τε καὶ ἀπελαύνονται · αἰνίττεται δὲ τὸ πρόχειρον νόημα, τοῦ μηδὲ ταφῆς ἀξιωθῆναι τοὺς πλείους, ἀλλὰ προκεῖσθαι θηρίοις βοράν.

v. 11. *Tradentur in manibus gladii, partes vulpium erunt.*

Excidentur, inquit, non vero a validis hostibus, sed a finitimis incolis: qui perinde ac si contabuerint, dissipantur. Obvius autem verborum sensus hoc innuit, plerosque ne sepultura quidem dignos fore, sed futuros esse feris pabulum.

v. 9. Vat. 16.

v. 11. Vat. 12, 14, 16.

Psalmus LXIII.

v. 4. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν. *Vat.* 662, 1.

Αὐτὴ ἡ ῥομφαία λόγος ἐστὶ δαιμονιώδης, χωρίζων ψυχὴν τῆς σοφίας καὶ γνώσεως Θεοῦ.

v. 11. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτὸν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Ἄφρων ἐλπίζει εἰς ἄνθρωπον· ὁ δὲ φρόνιμος ἐπὶ τῷ Κυρίῳ πέποιθεν. — Καὶ τὴν παρ' ἀνθρώπων δὲ καρπώσονται εὔκλειαν οἱ τὸν λογισμὸν πρὸς Θεὸν διευθύνοντες, καὶ τῆς ὁδοῦ τὰς εὐθείας ἔξω βαδίζειν οὐκ ἀνεχόμενοι. Ἐν περινοίᾳ γὰρ τῆς τοῦ Θεοῦ κηδεμονίας γενόμενοι, τὸ θεῖον κριτήριον ἔδεισαν· διαφερόντως δὲ τῶν νόμων τῶν θείων ἐπιμελόμενοι, θυμηδῶς ἐμφορηθέντες, τὴν εἰς τὸν Θεὸν ἐλπίδα βέβαιαν ἐργάζονται. Εὐφραίνει ἄδικον πλοῦτος φθαρτὸς, τὸν δὲ δίκαιον γνῶσις Θεοῦ.

v. 4. *Qui exacuerunt ut gladium linguas suas.*

Gladius ille sermo est a dæmone oriundus, qui dividit animam a sapientia et scientia Dei.

v. 11. *Lætabitur justus in Domino, et sperabit in eo, et laudabuntur omnes recti corde.*

Stultus in hominem sperat; prudens vero in Domino confidit. Vel ab hominibus nobile nomen lucrantur qui recte ad Deum cogitatus dirigunt, neque extra rectitudinis semitas gressus figere sibi permittunt; circumspicientes enim Dei providum numen, divinum judicium timuerunt. Strenue autem qui leges divinas meditantur, studio succensi, solidam in Deo spem sibi moliuntur. Improbo opes caducæ placent, justo autem agnitio Dei.

Ps. LXIII. v. 4. Vat. 2, 3. v. 11. Vat. 5.

Psalmus LXIV.

v. 2. Σοὶ πρέπει ὕμνος, ὁ Θεὸς, ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχή. *Vat.* 662, 1.

Νόει μὲν Σιὼν καὶ τὴν ἀρετὴν, καὶ πύλας τὰς εἰς αὐτὴν, ὥσπερ εἰσαγωγὰς, εἰσόδους· μόνῳ δὲ τῷ ἐν Σιὼν, τουτέστιν ἐν τῷ σκοπευτηρίῳ καὶ τῇ ἀρετῇ, πρέπει ὁ ὕμνος τῷ Θεῷ, ὡς ὑψωθέντι ἐκ τῶν πυλῶν τοῦ θανάτου καὶ τῆς κακίας, καὶ διὰ τοῦτο δυναμένῳ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις τοῦ Θεοῦ ἐν ταῖς ἐκκλησιαστικαῖς πύλαις τῆς θυγατρὸς Σιὼν, ἐκκλησίας. Οὐ γὰρ ὡραῖος ὕμνος ἐν τῷ στόματι ἁμαρτωλοῦ, ὅτι οὐ παρὰ Κυρίου ἐξαποστάλη. — Καὶ πάλιν ἐὰν θέλωσιν οἱ ἔξω τῆς ἐκκλησίας θεολογεῖν, ἢ καὶ ὑμνεῖν

v. 2. *Te decet hymnus, Deus, in Sion, et tibi reddetur votum in Hierusalem.*

Primum et in Sion intellige virtutem, et in portis ejus aditus qui veluti ad eam introducunt; unum vero eum qui stat in Sion, id est in loco speculæ et in virtute, decet hymnus ad Deum, ut qui exaltatus est ex interitus et malitiæ ostiis, ac propter hoc quascumque Dei laudes proferre valet in portis ecclesiasticis filiæ Sion, Ecclesiæ. Haud enim formosus hymnus est in ore peccatoris, quem Dominus ad id non deputavit. — Rursus qui extra Ecclesiam sunt, de Deo

Ps. LXIV, v. 2. Vat. 8, 16. Eccle. XV, 9. Plura ad Didymum retulit Corder. II, 266.

τὸν Θεὸν, οὐ δυνήσονται· ὁ γὰρ πρέπων ὕμνος, ὕμνος Θεοῦ, ἐν μόνῃ Σιὼν, τῇ ἐκκλησίᾳ.

Νόει δὲ Σιὼν καὶ τὴν ἐπουράνιον πόλιν. Ἐκεῖ γὰρ οἱ τέλειοι καὶ ἀληθῶς ὕμνοι ἀποδίδονται τῷ Θεῷ· ὡς γὰρ ἐν τῇ κάτω Σιὼν καὶ ἡ κάτω Ἱερουσαλὴμ, οὕτως καὶ ἐν τόπῳ, τῷ ὑπὲρ πάντα τόπον σωματικόν. Ἐν τῷ πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεις τῷ Θεῷ, ἔνθα αἱ ἀληθιναὶ ἀποδίδονται εὐχαί.

v. 3. Εἰσάκουσον προσευχῆς μου· πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

Σὰρξ, ἀντὶ τοῦ πᾶς ἄνθρωπος. — Ἥξει δὲ πρὸς αὐτὸν πᾶσα σὰρξ διὰ μετανοίας, καὶ καθάρσεως, μηκέτι μένουσα σὰρξ, ἢ κατὰ σάρκα πολιτευομένη,

v. 5, 6. Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. Πληθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἡ Ἀκύλα ἔκδοσις ἐμφαίνει ἐκ τοῦ ἐφ' ἡμῖν τὸ τὸν ἐλεχθέντα ὑπὸ Θεοῦ ἐγγίζειν αὐτῷ. Μακάριος γὰρ, φησὶν, ὃν ἐξελέξω, καὶ ἐγγίζει, οὐ μόνον ὃν ἐξελέξω.

Θεοδοτίωνος· Ἁγιασμοῦ γὰρ πληρὴς ὁ σὸς ναὸς, καὶ τὴν σὴν δικαιοσύνην, διὰ τῶν σῶν λογίων, τοὺς προσιόντας διδάσκει. — Οἶκον Θεοῦ τὴν ἐκκλησίαν ἐπιστέλλων ὁ Παῦλος Τιμοθέῳ καλεῖ. Ἐὰν δὲ βραδύνῃς, ἵνα ἴδῃς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστιν ἐκκλησία Θεοῦ ζῶντος, τούτου τοῦ οἴκου ἀγαθὰ τὰ τοῦ Πνεύματος χαρίσματα, τάτε περὶ τῆς Τριάδος καὶ τὰ λοι-

si dicere velint aut hymnum pangere, jam non poterunt. Hymnus enim decorus, hymnus Dei est in sola Sion, in Ecclesia.

Deinde etiam in Sion intellige cœlicam civitatem; ibi enim perfecti et qui re vera hymni sunt, Deo dicantur. Sicut enim in interiore Sion et in terrena Hierusalem, ita cantatur in loco omnem superante locum corporeum. In Spiritu et veritate adorabis Deum, ubi vera vota redduntur.

v. 3. *Exaudi orationem meam, ad te omnis caro veniet.*

Omnis caro, id est omnis homo. *Veniet* autem ad eum *caro omnis* per pœnitentiam et munditiem, jam caro non manens, nec juxta carneam legem vivens.

v. 5. 6. *Beatus quem elegisti et assumpsisti, habitabit in tabernaculis tuis. Replebimur in bonis domus tuæ. Sanctum est templum tuum.*

Aquilæ editio aperte declarat, fore ut electus a Deo sponte propria illi appropinquet. Ait enim: *Beatus quem elegisti, et appropinquat.* Non tantum dicit, *quem elegisti.* Theodotionis interpretatio: *Sanctitate plenum est templum tuum, ac justitiam tuam docet per oracula tua appropinquantes.* — Domum Dei in epistola ad Timotheum Paulus Ecclesiam vocat. Quod si discere moraris, quomodo convertatur quis in domo Dei, quæ est Dei viventis Ecclesia, hujusce domus bona sunt dona Spiritus, fides de Trinitate et alia dogma-

Hilarius *in cod. Veronensi.* v. 5. Quæ autem sicut bona domus possumus agnoscere? Ecclesiæ scilicet munera, quia et ipsa secundum Apostolum domus Dei est. *Sanctum est templum tuum.* Omnium namque credentium corpora templum Dei esse Apostolus docet, dicens: *An nescitis* etc. (*Hilarius editus longe lateque ab his recedit ac si duplex scriptura olim circumferretur.*)

v. 3. Vat. 5.

v. 5, 6. Vat. 5, 8, 10. Sunt obscura ab initio et dissoluta, de quibus silet Fieldius, sive ad Aquilam sive ad Theodotionem. Ultima anonymo dedit Corder. l. l. Cf. 1 Tim. iii, 25. Joan. xiv, 23. 1 Cor. iii, 16. Notare nemo negligat testimonium de canonibus apostolicis aut primum aut longe vetustissimum omnium quæ noverimus. Id quod prœterea confirmabitur altero testimonio in ps. cxviii.

πὰ δόγματα, εἴτε παραδοθέντες ὑπὸ τῶν ἀποστόλων θεσμοὶ καὶ κανόνες. Ἐν δὲ τούτῳ θαυμαστὸς ἡ ἀρετὴ ἐπιτελεῖται, καλουμένη δικαιοσύνη, ἤγουν ὅτι ὁ πιστεύων καὶ ἔργων ἀγαθῶν πληρωθεὶς ἔχει τὸν Κύριον ἐν ἑαυτῷ. Εἴρηται γὰρ διὰ τῆς πίστεως κατοικεῖν τὸν Χριστὸν, τὸν ἔσω ἄνθρωπον, πρὸς τὸν τηροῦντα τὸν λόγον αὐτοῦ μετὰ τοῦ Πατρὸς ἐρχόμενος, μονὴν ποιεῖται καὶ γίνεται ναὸς, κατὰ τό· Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἔστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Καὶ μεθ' ἕτερα· Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς, ὃς καὶ δικαιοσύνην θαυμαστῶς κατορθεῖ, τὴν διὰ πίστεως συνισταμένην.

v. 10. Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων.

Ὦ βάθος πλούτου καὶ σοφίας Θεοῦ! Καὶ πάλιν· Ἐν παντὶ γὰρ, ὁ Παῦλός φησι, ἐπλουτίσθητε ἐν πάσῃ γνώσει. Ἡ γνῶσις τοῦ Θεοῦ ἐπληρώθη φύσεων λογικῶν, εἴπερ ποταμοὶ ῥέουσιν ὕδατος ἐκ τῆς κοιλίας πιστεύσαντος Χριστῷ· ὕδατα δὲ ἔθος λέγειν τῇ γραφῇ τὰς φύσεις τὰς λογικὰς, καὶ γὰρ ὁ Δαυὶδ λέγει αἰνεῖν τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν τὸν Κύριον.

v. 13. Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Νῦν φύσεις λογικὰς τροπικῶς βουνοὺς ὀνομάζει.

v. 14. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων.

Ἐνεδύσαντο Χριστὸν καὶ σπλάγχνα οἰκτιρμῶν.

Hilarius ibid. v. 10. *Flumen etc.* Nam in Evangelio sic ait: « Qui crediderit in me, sicut scriptum est, flumina de ventre ejus exient. »

v. 10. Vat. 5. Rom. xi, 33. 1 Cor. 1, 5. Jo. vii, 38. Ps. cxlviii, 4.

ta, tum etiam traditi ab Apostolis ritus et canones. In hac vero domo mirabilis consummatur virtus, quæ vocatur justitia; scilicet quod is qui credit et bonis repletus est, in se Dominum habet. Dictum est enim, per fidem Christum habitare uti interiorem hominem; apud eum qui custodit sermonem ejus, veniens cum Patre, mansionem efficit, ac fit ipse templum, juxta illud: « An nescitis quia templum Dei estis, et Spiritus Dei habitat in vobis? » Et post pauca: « Templum enim Dei sanctum est, quod estis vos, » quo mirabili modo justitia dirigitur, ea quae in fide consistit.

v. 10. *Flumen Dei repletum est aquis.*

« O altitudo divitiarum et sapientiæ Dei! » Et rursus: « In omni re, ait Paulus, divites facti estis in omni scientia. » Dei scientiæ cumulus est in naturis ratione insignibus, quando quidem « flumina fluent aquæ vivæ ex ventre ejus » qui Christo credidit. Solemne est Scripturæ, aquas vocare rationales naturas. Etenim David ait, aquas superiores, quæ super cœlos sunt, cantare Dominum.

v. 13. *Et exultatione colles accingentur.*

Nunc spirituales naturas colles tropologice nuncupat.

v. 14. *Induti sunt arietes ovium.*

Induebant Christum et viscera misericordiæ.

v. 13, 14. Vat. 5.

Psalmus LXV.

v. 3. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου, ἐν τῷ πλήθει τῆς δυνάμεώς σου! ψεύσονταί σε οἱ ἐχθροί σου. *Vat.* 661, 2. 662, 1.

Τῆς Ἰουδαίων ἀποπληξίας ἐνταῦθα κατηγορεῖ, ὡς μηδὲ τῶν θαυμάτων τῆς ὑπερβολῆς παρενεγκούσης αὐτοὺς εἰς τὸ πείθεσθαι. Σημεῖα Κυρίου γεννῶσι πίστιν· δυνάμεις δὲ αὐτοῦ ἐπιστρέφουσι ψυχήν.

v. 3. *Dicite Deo: Quam terribilia sunt opera tua, in multitudine virtutis tuæ! Mentientur tibi inimici tui.*

Hic Judaeorum stupiditatem redarguit, ideo quod ne nimia quidem immanitas prodigiorum induxerit eos ut persuadeantur. Signa Domini generant fidem, virtutes autem illius convertunt animam.

v. 4. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλλάτωσάν σοι. Ψαλλάτωσαν δὲ τῷ ὀνόματί σου, Ὕψιστε.

Ἐπειδὴ Ἰουδαῖοι, φησὶ, καίτοι ὑπερβολὰς ὁρῶντες πίστει πραττομένων σημείων, ἐψεύσαντό σε, ἀλλ' οὖν ἀντ' ἐκείνων προσκυνήσει σε πάντων τῶν ἐθνῶν ἡ πληθύς. Τοῦτο σαφέστερον ὁ Σύμμαχος εἴρηκεν· Πάντες ᾄσουσι τὸ ὄνομά σου. Πρόῤῥησις δὲ ταῦτα τοῦ παρόντος καιροῦ, καθ' ὃν ἐν ἅπασι τοῖς ἔθνεσι ὁ τῶν ὅλων ὑμνεῖται Θεὸς, ὁ δεσπότης Χριστὸς ὕψιστος παρὰ πάντων καλεῖται.

v. 4. *Omnis terra adoret te, et psallat tibi. Psalmum dicat nomini tuo, Altissime.*

Quando quidem, ait, Judæi etiamsi videant vehementem copiam signorum quæ fides operatur, tibi mentiti fuerint, nihilo minus eorum in loco multitudo gentium omnium adorabit te. Hoc clarius Symmachus edixit: *Omnes cantabunt nomen tuum.* Hæc vero sunt vaticinia temporis hodierni, quum in omnibus populis celebratur universorum Deus; Dominus Christus ab omnibus vocatur altissimus.

v. 6. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν.

Οὗτος γάρ ἐστι, φησὶν, ὁ Θεὸς ὁ καὶ ἡμῖν τὴν πρὸς αὐτὸν ἄνοδον καὶ τὴν σωτηρίαν δωρούμενος, ὁ πατάξας θάλασσαν, καὶ ποταμὸν διαστήσας, καὶ τοὺς ἡμετέρους προγόνους ἀκινδύνους διαβιβάσας.

v. 6. *Qui convertit mare in aridam.*

Idem enim est, inquit, Deus ille qui nobis ad se reditum dat nobisque salutem, ille qui percussit mare, et divisit flumen, ac majores nostros incolumes transmeavit.

v. 12. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Οὐκοῦν οἱ γενναίως διενεγκόντες τοὺς ὑπὸ τῆς εὐσεβείας ἀγῶνας, καὶ εὐδοκιμεῖν εἰωθότες διὰ πειρασμῶν, εἶτα νενικότες καὶ εἰς τὸ τῆς ἐλπίδος καταστάντες τέλος, λέ-

v. 12. *Transivimus per ignem et aquam, et eduxisti nos in refrigerium.*

Nonne qui fortiter transilierunt certamina pro religione, solitique probari per vexationes, qui victores porro evaserunt, et in finem usque spei assurrexerunt,

Ps. LXV, v. 3. Vat. 5, 14. Ab initio recurrit laudatus anonymus, eadem quoad sensum Theodorus persequitur. In prooemio ad h. ps. Hilarius refert Origenis prolegomena de psalmo cantici et cantico psalmi, prout in tomo superiori p. 433 leguntur.

v. 4. Vat. 12, 14. Cf. Theodoret. Field. l. l.

v. 6. Vat. 2, 3.

v. 12. Vat. 5, 14. In paucis fere insonuit classicum ac tuba martyrum, coram adhuc stantibus idolorum simulacris. Cf. in fine Marc. IX. 21.

γουσι· Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος. — Καὶ τῶν δαιμονιζομένων τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐν τοῖς εὐαγγελίοις, ποτὲ μὲν ἔῤῥιψαν εἰς τὸ πῦρ, ποτὲ δὲ εἰς τὸ ὕδωρ. Ὕδωρ δὲ καὶ πῦρ ἐναντία ἐστὶν ἀλλήλοις. Πάσχουσι δὲ καὶ τοῦτο μέχρι νῦν οἱ ἀκάθαρτοι ἄνθρωποι, δειλιῶντες καὶ θρασυνόμενοι, πολύθεοι ὄντες καὶ ἄθεοι, ἐρῶντες αἰσχρῶς καὶ πάλιν μισοῦντες.

v. 13. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, ἐν ὁλοκαυτώμασιν.

[Οἶκον], τὸν ἐπουράνιον δηλονότι· ὁλοκαυτώμασι δὲ, καὶ οὐκ αἰσθητοῖς, νοητοῖς δὲ δηλονότι· ὅλως γὰρ ἑαυτοὺς ἀνέθηκαν τῷ Θεῷ ἐν τάξει ὁλοκαυτωμάτων.

v. 15. Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ποιήσω σοι βόας μετὰ χιμάρων.

Βόες εἰσιν αἱ ἐντολαὶ ἐξηγμέναι, βοῶν δίκην. Χιμάρους λέγει τὰς ἀρετὰς, αἵτινες χιμάρων δίκην νέμονται τὰ δόγματα τῶν γραφῶν. Εἰσὶ δὲ οἱ κριοὶ κινήσεις καὶ ὁρμαὶ ἀπὸ τοῦ θυμικοῦ τῆς ψυχῆς τὴν ἀρχὴν ἔχουσαι, σὺν τοῖς βαλλομένοις ὁλοκαυτώμασι καὶ τοῦ θυμιάματος καὶ τῶν κριῶν.

v. 13. Vat. 12, 14.

dicunt: *Transivimus per ignem et aquam!* — Et vexatos a dæmonibus, immundus spiritus in evangeliis modo proripuit in ignem, modo in aquam. Aqua et ignis inter se contraria sunt. Etiam idem usque nunc patiuntur impuri homines, timentes et arrogantes, multorum Deorum cultores et athei, amantes inverecunde et rursus odio habentes.

v. 13. *Introibo in domum tuam, in holocaustis.*

In domum nempe cœlestem, ac videlicet *in holocaustis* quæ non sensibus, sed mente percipiuntur. Etenim se omnino Deo consecrarunt, juxta legem holocaustorum.

v. 15. *Holocausta medullata offeram tibi, cum incenso et arietibus: offeram tibi boves cum hircis.*

Boves sunt præcepta executione adimpleta, loco sacrificii boum; capri significant virtutes, quæ veluti pascunt dogmata Scripturarum. Sed et hirci sunt motus et impetus qui a sensorio animæ originem habent, cum subjectis holocaustis et incenso et hircis.

v. 15. Vat. 5, 6.

Psalmus LXVI.

v. 1. Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς τῷ Δαυίδ.

Ὑπόθεσις τοῦ Ἀθανασίου. Πάλιν κἀνταῦθα τῶν ἀποστόλων εἰσάγει τὸ πρόσωπον, διδασκαλίαν ποιούμενος τῶν ἐθνῶν, ῥυσθῆναί τε εὐχόμενος ἀντιλεγόντων τῇ διδασκαλίᾳ αὐτοῦ. Οὗτος ὁ ψαλμὸς σαφῆ τὴν διάνοιαν ἔχει, καὶ πολλῶν λόγων οὐ δεῖται. Προκηρύττει γὰρ τοῦ Θεοῦ Λόγου τὴν ἐνανθρώπησιν, καὶ τὴν σωτήριον ἐπιφάνειαν, καὶ τῶν

v. 1. *In finem, in hymnis psalmus David.*

Athanasii argumentum. Iterum et huc personam adducit apostolorum propheta, qui gentes erudire aggreditur, ac liberari se orat ab iis qui doctrinæ suæ contradicunt. Psalmus ille clarum habet intellectum, neque multis indiget sermonibus. Vaticinatur enim Verbum Dei hominem factum, salutemque patefa-

Ps. LXVI. Origenis deficientis vicem præclare gerat Athanasius, plane, ut solet, dogmaticus, divinoque Verbo afflatus. Quum vero editus Athanasii commentarius pone sequitur Origenem, conjicere lubet non deesse in argumentis psalmorum fragmenta libri penitus amissi, quem de *Titulis psalmorum* scripserat Origenes. Hoc partim ineditum. Cf. Joan. XIV, 9.

ἐθνῶν ἁπάντων τὴν σωτηρίαν. Θεασάμενος ὁ προφήτης τοῖς τοῦ πνεύματος ὀφθαλμοῖς τὴν ἐσομένην πᾶσιν ἀνθρώποις σωτηρίαν διὰ τῆς θείας ἐπιφανείας, ἱκετεύει ταύτην ὅτι τάχιστα παρασχεθῆναι, ἵνα τὴν ἐκ ταύτης φυομένην εὐλογίαν τρυγήσωμεν ἅπαντες· εἶτα διὰ τὸν ἐπαγόμενον ταύτην ἡμᾶς διδάσκει σαφέστερον. Ἐπιφανεῖται δὲ τὸ πρόσωπον τοῦ πάντων δημιουργοῦ, τὸ πληροῦν ἡμᾶς εὐλογίας καὶ οἰκτιρμῶν, ἐπιφανέντος ἡμῖν τοῦ χαρακτῆρος τῆς ὑποστάσεως αὐτοῦ καὶ ἐμφανίσαντος ἑαυτὸν τοῖς ἀξίοις, ἐπεὶ γὰρ εἰκών ἐστι τοῦ Θεοῦ τοῦ ἀοράτου ὃν ὁ καθορῶν, ὁρᾷ τὸν Πατέρα. Ὁ ἐμὲ γάρ, φησίν, ἑωρακώς, καὶ τὸν Πατέρα μου ἑώρακεν. Τότε τοὺς εὐεργετημένους εὐλογεῖ καὶ οἰκτείρει, πᾶσιν εὐλογίαν πνευματικὴν ἐν τοῖς ἐπουρανίοις ἔχων Ἰησοῦς.

ctam, et omnes gentes ad eam vocatas. Intuens propheta cum spiritus oculis futuram omnibus hominibus salutem in divina Epiphania, eamdem postulat supplex ut quam cito habeatur, unde omnes benedictionem ex ea succrescendam metamus. Quam porro per sequentia nobis magis perspicue docet. Manifestatur autem persona Creatoris rerum omnium, qui affatim nobis impertitur benedictionem et miserationes, cum nobis ostendit figuram suæ substantiæ, seque revelavit id merentibus, quando quidem imago est invisibilis Dei; quem qui videt, Patrem videt. « Qui enim me vidit, ait, etiam Patrem meum vidit. » Tandem munificentia sua gaudentibus benedicit, eorumque miseretur Jesus, qui omnibus spiritualem benedictionem in cælestibus reservat.

Psalmus LXVII.

v. 3. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.

Ὥσπερ καπνὸς παρακολούθημά ἐστι πυρὸς καὶ φωτός, οὕτω τῶν δικαίων οἱ ἁμαρτωλοί, οὐ κατὰ προηγούμενον λόγον τοιοῦτοι γενόμενοι. Ὁ γὰρ προηγούμενος λόγος ἤθελε καὶ αὐτοὺς εἶναι φῶς, κατὰ τό· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· καὶ ἐβούλετο αὐτοὺς εἶναι πῦρ, κατὰ τό· Ὁ ποιῶν τοὺς λειτουργοὺς αὐτοῦ, πυρὸς φλόγα. Ἐπεὶ δὲ πεφεύ-

v. 3. *Sicut deficit fumus, deficiant; sicut fluit cera a facie ignis, sic pereant peccatores a facie Dei.*

Sicut fumus ignis atque luminis consequentia est, ita peccatores justorum sequela sunt, haud juxta præmissum sermonem. Præmissa enim verba volunt justos quoque esse lumen, secundum illud: « Vos estis lux mundi. » Volunt etiam eos esse ignem, juxta illud: « Qui facit ministros suos flammam ignis. »

Ps. LXVII. Incidimus in antiquum illud canticum quod longe Davidis et regum et judicum tempora superat, cum in ipsa per desertum peregrinatione tum primum insonuisse reputetur. Multis utpote tenebris obsitum Origenes prolixo eum commentario illustravit, cujus nova et plura fragmenta tandem eruisse juvabit.

v. 3. Vat. 15. Cf. Matth. v, 14. Ps. CIII, 4. 1 Joan. 1, 5. Hebr. XII, 19. Ps. XVII, 9. Luc. XII, 49. Interim strenua concio ab ore martyrum quasi erupit coram ruentibus simulacris, quæ tamen apud seniores Alexandrinos intacta non remansit. Plura enim more suo Eusebius corrosit et incondite effudit; pauciora Didymus, alia Theodorus Heracleota post Eusebium receperunt. Circa finem diligens lector expendat quæ elevare videntur impactum Origeni errorem de parcendis dæmonibus et mitigando inferno, quem quidem nullibi in his commentariis repperimus.

γασι τὸ εἶναι φῶς, καὶ οὐκ ἠθέλησαν γενέσθαι πῦρ, διὰ τοῦτο γεγόνασι καπνός. Τάχα δὲ καὶ οἱ ἄγγελοι, ὅταν μὲν κολάζωσι, πῦρ εἰσίν· ὅταν δὲ διακονῶσι τὰ τῆς ἡμῶν σωτηρίας, φῶς. Καὶ ὁ Θεὸς τοῖς μὲν ἁμαρτωλοῖς πῦρ ἐστι, καταναλίσκον πᾶσαν κακίαν· τοῖς δὲ δικαίοις, φῶς. Ὁ γὰρ Θεὸς φῶς ἐστι, καὶ σκότος ἐν αὐτῷ οὐκ ἔστι.

Πάλιν προηγούμενον ἔργον τῶν μελισσῶν τὸ μέλι· παρακολούθημα δὲ τοῦ μέλιτος ὁ κηρός· κἂν ἔλθῃς ἐπὶ τὴν Χριστοῦ παρουσίαν, μέλι μὲν ὄψῃ τὴν ἐκκλησίαν· παρακολούθημα δὲ, τοὺς ἑτεροδόξους, οἷς ἐρεῖ· Οὐδέποτε ἔγνων ὑμᾶς· οὐ γὰρ γινώσκει τὸ ἐπισυμβάν.

Εἶεν δ' ἂν καὶ οἱ δαίμονες ἐχθροὶ ἀπολλύμενοι, οὐ πῦρ ὄντες, ὡς ἄγγελοι· οὐ φῶς, ὡς δίκαιοι· ἀλλὰ καπνὸς σκεδαννύμενος, ὁ τοῖς ὄμμασι βλαβερός. Πρότερον γὰρ μετεσχηματίζοντο εἰς ἀγγέλους φωτὸς, μαντείας καὶ θεραπείας ἐπαγγελλόμενοι, ὡς τοὺς ἀνθρώπους ἀπατωμένους θύειν αὐτοῖς καὶ τὰ φίλτατα· νῦν δὲ φροῦδα πάντα, καὶ ὄντως καπνὸς, ἀποσδεσθέντος αὐτῶν τοῦ πυρὸς, ὀργισθέντος αὐτοῖς τοῦ Θεοῦ, κατὰ τό· Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, δῆλον ὡς σβέσαντος αὐτῶν τὸ πῦρ, ὃ τοὺς ἀνθρώπους κατέφλεγε· καὶ ὁ καπνὸς δὲ αὐτὸς, ὡς μὴ ἔχων περὶ ὅ τι ὑποσταγῇ, ἐξέλιπε· καθάπερ γὰρ τὸν μὲν καπνὸν σκεδάννυσι τῶν ἀνέμων ἡ προβολὴ, ὁ δὲ κηρὸς λύεται τῷ πυρὶ προσπελάζων, οὕτως τῇ τοῦ Χριστοῦ παρουσίᾳ, φροῦδοι γεγόνασι τῶν ἀνθρώπων οἱ δυσμενεῖς παντελῶς, καὶ μέντοι ὡς ἀπόλλυται νόσος ὑπὸ ἰατροῦ, καὶ σκότος ὑπὸ ἡλίου, οὕτως ἡ ἁμαρτία ὑπὸ τοῦ ἀγαθοῦ Θεοῦ. Ὅταν οὖν ἐκτακῶσιν ὡς κηρὸς, καὶ ἐκλίπωσιν ὡς καπνὸς οἱ ἁμαρτωλοὶ, καθὸ εἰσὶν ἁμαρτωλοὶ, τότε οὐ μόνον ἐφ' ἑαυτοῖς εὐφραίνονται οἱ δίκαιοι, ἀλλὰ καὶ ἐπὶ τῷ ἐκλείποντι καπνῷ, καὶ ἐπὶ τῷ ἐκτακέντι κηρῷ· ὁρῶσι γὰρ ἀγαθὸν γενόμενον τὸ ἐκλιπεῖν τὸν καπνὸν, τὸ ἐκτακῆναι τὸν κηρόν. Τάχα δὲ τοιοῦτόν τι βλέπων ὁ Σωτὴρ γινόμενον ἀπὸ τοῦ πυ-

Verum impii, quum refugerint esse lumen, neque ignis voluerint fieri, idcirco fumus evaserunt. Fortasse angeli quoque, quando pœnas exercent, ignis sunt; lumen vero, quando ministri nostræ saluti inserviunt. Et Deus quoque peccatoribus est ignis, consumens omnem malitiam, justis autem lux. Deus enim lux est, et tenebræ in eo non sunt.

Rursus præmissum apum opus est mel: mellis autem sequela, cera. Et si transieris ad eventum Christi, aspicies mel esse Ecclesiam, sequelam autem esse heterodoxos, quibus dicit: «Nunquam novi vos.» Non novit enim, quod perdendum est. — Fuerint hoc etiam dæmones, inimici qui perdendi sunt, quum neque ignis sint, sicut angeli, neque lumen, ut justi; sed fumus qui dissipatur, qui oculis noxius obest. Primum enim transformati erant in angelos lucis, vaticinia et medelas venditantes, ita ut decepti homines vel charissima pignora illis immolarent: nunc vero frivola omnia sunt et reapse fumus, extincto illorum igne per iram Dei in illos succensam, ut illud: «Ascendit fumus in ejus ira,» ejus nimirum qui extinxit eorum ignem, quo homines adurebantur. Fumus autem iste, quasi nihil habens in quo subsisteret, evanuit. Quemadmodum enim fumum dissipat ventorum flatus, ac cera dissolvitur, ad ignem si accedat, ita in Christi præsentia, evanidi omnino facti sunt hominum sævi hostes: atque interea sicut tollitur morbus a medico, et nox a sole, ita peccatum a Deo optimo. Quando ergo tabuerunt, ut cera, et evanuerunt, ut fumus peccatores, in quantum tales erant, tunc temporis justi non solum super eos lætantur, sed et ideo quod evanuit fumus et cera liquefacta est: vident enim bonum id fieri, quod dissipetur fumus, quod liquefiat cera. Fortasse id videns Salvator,

ρὸς, ὅτι μέλλει ἐκτήκεσθαι κηρὸν, ἵνα μόνον μέλι καταλειφθῇ, εἶπε τό· Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ ἤθελον εἰ ἤδη ἐκαίη. Οὐχ ἁπλῶς δὲ εἶπεν ἀπόλλυσθαι τοὺς ἁμαρτωλοὺς, ἀλλ' ἀπὸ προσώπου τοῦ Θεοῦ. Καὶ οὕτω πῶς ὁ κηρὸς ὑπὸ πυρὸς, οὐ τῆς οὐσίας τῆς ψυχικῆς φθειρομένης, ἀλλὰ τῆς ἕξεως καθ' ἥν τίς ἐστιν ἁμαρτωλός· οὐδὲ γὰρ ὁ τηκόμενος κηρὸς εἰς τὸ μὴ ὂν καταστρέφει, εἰς δὲ τὴν τοῦ πυρὸς ἀναδίδοται οὐσίαν, ἀπολλυμένης αὐτοῦ τῆς ποιότητος.

quod igne urente, oportuerit ceram tabescere, ut tantum modo mel supersit, dixit: « Ignem veni mittere in terram et utinam jam comburat! » Non simpliciter dixit aboleri peccatores, sed *a facie Dei.* Ac sicut alicubi cera coram igne, sic non destructa spirituali substantia, sed facultate qua quis peccator est; neque etiam tabefacta cera in nihilum convertitur, sed ignis in substantiam transmittitur, sublata qualitate ceræ.

v. 4. Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ· τερφθήτωσαν ἐν εὐφροσύνῃ.

v. 4. *Exultent in conspectu Dei, delectentur in lætitia.*

Προσθεὶς ὅτι ἀγαλλιάσθωσαν, ἔδειξεν ὡς οὐ κατ' ἀνθρώπων τὴν ἱκετηρίαν ταύτην προσήνεγκεν, ἀλλὰ κατὰ δαιμόνων, ὧν σκεδαννυμένων καὶ φρούδων γινομένων, ἀγάλλεται ἔθνη, καὶ τὸν σεσωκότα Θεὸν ἀνυμνεῖ· οὐ καλὸν καὶ τὸ ἀγαλλιάσθωσαν μόνον, ἂν μὴ λάβῃ τὴν προσθήκην, ἀναγκαῖον οὖσαν, τὸ ἐνώπιον τοῦ Θεοῦ, ὥστε ἀξίαν εἶναι τὴν ἀγαλλίασιν τῶν ὀφθαλμῶν τοῦ Θεοῦ, οὐ κοσμικὴν οὖσαν, ἀλλὰ καρπὸν τοῦ Πνεύματος.

Ubi autem addidit: *exultent,* ostendit, minime adversus homines hanc postulationem prolatam fuisse, sed adversus dæmones; quod evanescunt et futiles fiunt, ideo exultare gentes, hymnisque suis celebrare Deum qui salvavit eas. Neque congruum est ut tantummodo *exultent,* nisi et addatur quod necessarium est auctarium, nimirum *in conspectu Dei,* quæ ut digna sit oculis Dei exultatio, ea non est sæcularis, sed fructus Spiritus.

v. 5. Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβηκότι ἐπὶ δυσμῶν. Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.

v. 5. *Cantate Deo, psalmum dicite nomini ejus, iter facite ei qui ascendit super occasum: Dominus nomen illi, et exultate in conspectu ejus.*

Ὥσπερ ἐὰν ᾄδειν μοι προκῆται βασιλεῖ, δεήσει με εἰδέναι ποῖα μέλη ἀποδέχεται ὁ βασιλεὺς, ἵνα ᾄδων ἀρέσω αὐτῷ· οὕτως εἰ μέλλω ᾄδειν τῷ Κυρίῳ, δεήσει με εἰδέναι τὰ μέλη τὰ εὐφραίνοντα τὸν Κύριον, ἵν' ἐπ' αὐτοῦ ἀκροατοῦ ᾄσω τῷ Κυρίῳ. Ἐπεὶ καὶ τὰ αἰσθητὰ ἐπίβαθρα γίνεται πρὸς τὸ νοῆσαι τὰ κρείττονα, ἰστέον ὡς ὁ μὲν ᾄδων ψιλῇ χρῆται φωνῇ, ὁ δὲ ψάλλων καὶ τῷ ὀργάνῳ· ἴδε οὖν σεαυτὸν χωρὶς σώματος, καὶ ἐννόησον τὸ ᾄδειν. Νόησόν σου καὶ τὸ σῶμα, καὶ ὅρα τὸ ψάλλειν. Ἄδει γὰρ τῷ Θεῷ ὁ διὰ ὑγιῶν δογμάτων τὴν ψυχὴν παιδευόμενος, ὁ τὰς πρεπούσας αὐτῷ θεολογίας ἐκ διανοίας κεκαθαρμένης ἀναπέμπων. Ψάλλει δὲ τῷ ὀνόματι αὐτοῦ, ὁ διὰ τῶν τοῦ σώματος κι-

Quemadmodum, si mihi contingat cantum dicare imperatori, necesse mihi erit nosse qualia imperator accepta cantica habeat, ut canendo illi placeam: ita, si canticum oblaturus sum Domino, oportebit me edoceri carmina quæ Dominum delectantur, ut super tono audito canam Domino. At quando quidem sensilia fiunt gradus inferiores ad meliora percipienda, sciendum est quomodo cantor utatur pura voce, psaltes autem etiam instrumento: vide ergo temetipsum, secluso corpore, et intellige canendi opus. Intuere etiam tuum corpus, et vide quid sit psallere. Canit enim Deum ille qui per sana dogmata animam erudiens,

νήσεων, διὰ τῆς τῶν αἰσθητηρίων χρήσεως, τοιαῦτα πράττων ὡς δοξάζεσθαι παρὰ τοῖς ὁρῶσι τὸ ὄνομα αὐτοῦ τοῦ Θεοῦ. Καὶ ὥσπερ ὁ τεχνίτης, ἐν ᾧ ψάλλει, οὐ συγκεχυμένως κρούει τὰς χορδὰς, ἀλλ' οἶδε τοὺς καιροὺς καὶ τοὺς τόπους, καί ποτε μὲν τήνδε, ποτὲ δὲ τήνδε κρούσει· οὕτως ὁ εἰδὼς ψάλλειν τῷ τοῦ σώματος ὀργάνῳ, ῥυθμίζει αὐτὸ τῷ λόγῳ τοῦ Θεοῦ, καὶ οἶδε πότε κινήσει τὴν χορδὴν, τὴν χεῖρα ἢ τὸν πόδα, ἵνα περιπάτῃ ὡς δέον, ἵνα πράττῃ τὸ πρέπον· τὸν ὀφθαλμὸν, ἵνα μὴ ἐκμελὲς ἴδῃ καὶ πρὸς τὸ ἐπιθυμῆσαι· τὸ οὖς, ἵνα μὴ παραδέξηται ἀκοὴν ματαίαν· τὸ στόμα, ἵνα μὴ λαλῇ ἀργὸν ῥῆμα. Ἔστι καὶ τῇ χορδῇ τῆς κοιλίας χρήσασθαι ἐμμελῶς, ὅτε εἰς δόξαν Θεοῦ ἐσθίομεν καὶ πίνομεν.

Ἐπὶ δυσμῶν. — Δυσμαί εἰσι φύσεις λογικαὶ ἐκπεσοῦσαι τοῦ τῆς δικαιοσύνης ἡλίου. — Ὁδοποιήσατε. Ζητεῖ καὶ ἐν σοὶ περιπατῆσαι ὁ Κύριος, καὶ βλέπων ἀκάνθας, ἡδονὰς καὶ μερίμνας ἐν σοὶ, ἄλλους ζητεῖ περιπάτους καθαρωτάτους, καὶ σὲ καταλείπει· ἐπιβήσεται δὲ σοὶ, ὅταν δύῃ ὁ ἐναντίος τῷ ἡλίῳ τῆς δικαιοσύνης, ἥλιος ὁ Σατανᾶς, ὁ μετασχηματιζόμενος εἰς ἄγγελον φωτός· εἰσὶ γοῦν τινες ἐν τῷ νόμῳ, ἕως μὲν ἀνατέλλει ἑαυτοῖς ὁ τῆς ἀδικίας ἥλιος, ἀκάθαρτοι· ἐὰν δὲ δύῃ, καθαροί· δυέτω σοι πάντα σοι φωτίζειν νομιζόμενα, καὶ δεδοξασμένα ὑπό σου καὶ θαυμαζόμενα· δυέτω φιλαργυρία, δυέτω ἀλλοτρία διδασκαλία, δυέτω πορνεία, ἣν ἐνόμιζες διὰ τὴν ἡδονὴν εἶναί τι ἀγαθὸν, ἵνα ἐπεβῇ ὁ Κύριος ποιήσαντί σοι δυσμὰς τῶν ἐναντίων.

Ὁδοποιήσατε. — Εὐτρεπεῖς γενέσθαι φησιν εἰς τὸ τῆς ὁδοῦ ἐκείνης πορεύεσθαι, τοῦ ἐπ' ἔσχατα Χριστὸν ὀφθῆναι ἐν σαρκὶ τοῖς ἐπὶ γῆς ἢ τοῖς ἐπιβεβηκόσιν ἐπὶ δυσμῶν, τῶν μέχρι ᾅδου πεποιημένων τὴν κάθοδον.

theologicas laudes Deo dignas ex mente repurgata dicat. Psallit autem nomini ejus, ille qui dum corporis actus movet solito usu sensuum, ea peragit quæ gloriosum coram spectantibus nomen ejusdem Dei faciunt. Et quemadmodum melodus, dum psallit, non confuse chordas exciet, sed intelligit tempora et loca, ac modo hance, illamve modo chordam percutiet: ita qui peritus est psallendi cum corporis instrumento, hujusce rhythmum verbo Dei accommodat, et novit quandonam rite movebit chordam, manumve aut pedem, ut ambulet ubi oporteat, ut congruum actum agat; sive oculum, ut nihil ineptum cernat, neque ad concupiscendum; sive aurem, ne unquam percipiat vanum auditum; sive os, ne otiosum proferat verbum. Immo etiam apte utendum est chorda ventris, quando ad gloriam Dei manducamus et bibimus.

Super occasum. Occasus sunt spiritus qui ex sole justitiæ ceciderunt. *Iter facite.* Dominus etiam in te avet ambulare, ac videns inesse tibi spinas voluptatum et sollicitudines, quærit alios itineris socios purissimos, teque deserit. Ascendet tibi, quando cadet sol ille Satanas, soli justitiæ infensus, larva referens angelum lucis. Sunt igitur in lege nonnulli impuri, quamdiu in eis oritur sol injustitiæ: sin occiderit, puri sunt. Tibi occidant quæcumque luculenta reputas, et gloriosa ac mirabilia. Occidat pecuniæ amor, occidat aliena doctrina, occidat fornicatio, quam tu ob voluptatem, esse aliquod bonum censebas, unde ascendat Dominus in te, si coram illo stravisti adversarios occasus. *Iter facite.* Belle paratos esse ait ad eundum iter illud, quo in novissimis cernitur Christus carne accinctus, tum hominibus super terram, tum iis qui descenderunt in Occasum, cujus descensio ad inferos usque pertingit.

v. 6. Ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ, πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν.

Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκ τοῦ διαβόλου γίνεται· οὗτος οὖν ὁ πατήρ σου, ἐὰν ἁμαρτάνῃς, ἀποθανέτω. Ἐάν σοι ἀποθάνῃ, σοὶ οὐ ζῇ, κἂν ἄλλοις δοκῇ ζῆν. Γενοῦ ὀρφανὸς, καὶ οὐκέτι χρήσῃ τοιούτῳ πατρὶ, ἀλλ' ἐκείνῳ ὅς σε ὡς ὀρφανὸν ἄλλον ἀναλήψεται. Πάλιν μνηστεύσεται τὴν ἀνθρωπίνην ψυχὴν ὁ Χριστός· παρανόμως δὲ ὁ διάβολος βούλεται αὐτῆς νυμφίος γίνεσθαι, ἵνα ποιήσῃ αὐτὴν ἐφθαρμένην· ἡ ψυχὴ οὖν σου χήρα γενέσθω ἐκείνου, ἵνα σοι κρίνῃ τὰ δίκαια ὁ Θεὸς καταλίποντι τὸν ἀνόμως συνῳκηκότα καὶ τὸν κατὰ κακίαν γεννήσαντα. — Ὀρφανός ἐστιν ὁ στερηθεὶς διὰ κακίαν τοῦ ἐπουρανίου Πατρὸς, ἣν αὐτὸς ἑκὼν ἐπάσπατο.

Τῇ κτίσει παρὰ τὸν κτίσαντα λελατρευκότες ὀρφανοί τινες ἦσαν· κατὰ τὸν δὲ κόσμον ἀνεπικούρητοι παντελῶς καὶ πρὸς πᾶσαν πλεονεξίαν ἑτοιμοί. Ἐπειδὴ δὲ πεπιστεύκασι, πεπλουτήκασι Πατέρα τὸν Θεὸν, διὸ γὰρ τῆς τῶν χηρῶν κηδεμονίας καὶ τῆς τῶν ὀρφανῶν ἐπιμελείας τὸ δίκαιον αὐτοῦ τῆς προνοίας ἐδήλωσεν, τῶν ψυχῶν τῶν ὀρφανῶν καὶ τῶν ἀβοηθήτων θύσων. — [Νόει] ὀρφανοὺς τὰ ἔθνη, ὡς μὴ ἔχοντα τὸν Θεὸν πατέρα, χήραν δὲ τὴν ἐκκλησίαν, ὡς μὴ λαβοῦσαν ἄνδρα τὸν Χριστὸν, τούτων γὰρ ἕνεκεν καὶ ἀπόθανεν.

v. 6. *Turbabuntur a facie ejus, patris orphanorum et judicis viduarum.*

Quicumque facit peccatum, ex Diabolo oritur. Ipse ergo idem pater tuus, si peccaveris, moriatur. Si tibi mortuus est, tibi non vivat, etiamsi aliis videatur vivere. Orphanus fias, neque amplius simili utere patre, sed illo qui te veluti alium orphanum assumet. Iterum humanæ animæ memor erit Christus. Sed ausu nefario vult Diabolus hujus animæ sponsus fieri, ut eam faciat scortum. Tua igitur anima vidua hujus sponsi fiat, ut Deus justa tibi judicet, qui deseruisti male tibi conjunctum et malignos fetus generantem. Orphanus est, qui per malitiam orbatus est cœlesti patre, quam sponte amplexus erat.

Qui creaturam pro Creatore coluerunt, quidam orphani erant, ac secundum sæculum quocumque prorsus auxilio destituti, ac parati ad subeundam vim et tyrannidem. Postquam autem crediderunt, suas habuere divitias, patrem Deum. Etenim per tutelam viduarum et procurationem orphanorum, quam justa sit providentia sua, ostendit, animas veluti orphanas et auxilio orbatas vindicans. — Intellige orphanos esse populos qui Deum non habent patrem; viduam autem Ecclesiam quæ nondum sponsum susceperat Christum: horum enim gratia, mortuus est.

v. 7. Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ. Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.

Τόπος Θεοῦ, ψυχὴ καθαρά· διὸ ἐπιφέρει, ὁ Θεὸς κατοικίζειν μονοτρόπους, τοὺς αὐτῷ καὶ μόνῳ ἀναθέντας τὴν οἰκείαν ζωὴν, πάσης διψυχίας καὶ κοσμικῆς αὐτῆς ἐπιθυμίας

v. 7. *Deus in loco sancto suo, qui inhabitare facit unius moris in domo, qui educit vinctos in fortitudine, similiter eos qui exasperant, qui habitant in sepulchris.*

Locus Dei, anima pura. Ideo subjicit: Deus inhabitare facit unanimes, qui in ipso in eoque solo posuere vitam suam propriam, divortium animæ quodcum-

v. 6. Vat. 15.

v. 7. Vat. 2, 5, 6. Ps. XLIX, 9.

ἀλλοτριώσαντες, οὓς καὶ ἐν τῇ οὐρανίῳ πόλει κατοικίζει. — Ὥσπερ τοὺς πεπεδημένους ἐξάγει ἐν ἀνδρείᾳ, οὕτως καὶ τοὺς ἀδίκους ἐξάγει ἐν δικαιοσύνῃ, καὶ τοὺς ἄφρονας ἐν φρονήσει. — Ὁμοίως τῷ εἰρημένῳ τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύφθητε. Δεσμοὺς δὲ καὶ σκότος τὴν τῶν δαιμόνων λατρείαν λέγει.

que et mundanam concupiscentiam repudiantes, quos ipse porro incolas in cœlesti civitate collocat. Sicut vinctos educit in fortitudinem, ita et iniquos educit in justitiam, et stultos in sapientiam. — Simile est quod dicitur vinctis: «Exite, et stantibus in tenebris: Revelemini». Vincula autem et tenebras dicit dæmonum cultum.

v. 8. Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε τὸν ἔρημον. Διάψαλμα. Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώποο τοῦ Θεοῦ τοῦ Σινά.

v. 8. *Deus, cum egredereris in conspectu populi tui, cum pertransires in deserto,* [*diapsalma*] *terra mota est, etenim cæli distillaverunt a facie Dei Sinai.*

Ὡσαύτως, ὁ Θεός, προερχομένου σου πρὸ τοῦ λαοῦ σου, βαίνοντος διὰ ἀδικήτου, γῆ ἐσείσθη, οὐρανὸς δὲ ἔσταξεν, μέλλων, φησί, διαβαίνειν εἰς τὴν ἔρημον ἐκείνην, καὶ ἀοίκητον, καὶ μηδέπω δεξαμένην τοῦ φωτὸς τὴν ἀκτῖνα, ἐκλόνησα γῆν μὲν καὶ συνέσεισεν· οὐρανόθεν δὲ τὰς τῆς χάριτος ψεκάδας ὑπέσταξεν· γέγονε δὲ τὸ μὲν ἐπὶ τοῦ σταυροῦ, τότε γὰρ ἡ γῆ ἐσείσθη, τό τε δὲ μετὰ τὴν εἰς τὸν οὐρανὸν ἐπάνοδον· τηνικαῦτα γὰρ ἐπεφοίτησεν ἡ τοῦ πνεύματος χάρις, οἷόν τινας δρόσου ψεκάδας μιμούμενος, τοῖς ἀποστόλοις· εἶτα σαφέστερον Ἰουδαίους διδάσκων τὸν πάντα ταῦτα δρῶντα, ἐπήγαγεν ἀπὸ προσώπου τοῦ Θεοῦ, τοῦ ἐν τῷ Σινᾷ φανέντος.

Similiter cum tu, Deus, procedis ante populum tuum, gradiens contra injustum, terra tremuit, cœlum distillavit. Ingressurus, ait, in hoc desertum, incolarum expers, neque ullum luminis radium recipiens, terram succussi, et contremuit. Cœlitus vero distillavit gratiæ stillas: horum autem prius sub cruce factum est, tunc enim terra mota est; posterius vero post reditum in cœlum. Tum enim Spiritus gratia supervenit, tanquam aliquot roris stillas imitata, super apostolos; exinde clarius Judæos edocens de auctore harum omnium rerum, eduxit eos a facie Dei, qui in monte Sina apparuit.

v. 10. Βροχὴν ἑκούσιον ἀφορεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου.

v. 10. *Pluviam voluntariam segregabis, Deus, hæreditati tuae.*

Τὸ εὐαγγελικὸν κήρυγμά φησι βροχήν· καταβήτω ὡς ὑετὸς ἐπὶ πόκον· ἑκούσιον δὲ πρὸς ἀντιδιαστολὴν τῆς νομικῆς λατρείας· ἐκεῖνος γὰρ οὐκ ἦν αὐτοῖς ἑκούσιος, κατὰ τό· Τίς ἐκζήτησε ταῦτα ἐκ τῶν χειρῶν μου;

Prædicationem evangelii pluviam dicit. «Descendat sicut pluvia in vellus.» *Voluntariam* vero, in oppositione legalis ministerii, quod Judæis voluntaria non fuit, juxta illud: Quis ista requisivit ex manibus meis?

v. 18. Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον.

v. 18. *Currus Dei decem millibus multiplex.*

Ἅρμα τοῦ Θεοῦ, ψυχαὶ καθαραί, αἷς ἐπέβη ὁ καθαρὸς Θεός, ᾧ ὑποζεύγνονται τῶν εὐθυνόντων αἱ χιλιάδες.

Currus Dei, animæ puræ, in quas purus ascendit Deus, currus cui subjugantur decem millia recte currentium.

v. 8. Vat. 6. Cf. Athanas. Corder. II, 343.

v. 10, 18. Vat. 6, 12. Ps. LXXI, 6.

v. 19. Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν· ἔλαβες δόματα ἐν ἀνθρώπῳ, καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι.

Αἰχμαλωσία ἐστι Χριστοῦ φύσεως λογικῆς ἀπὸ κακίας καὶ ἀγνωσίας ἐπ' ἀρετὴν καὶ γνῶσιν ἐπάνοδος. Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι οὐκ ἀπέβλεψα, φησίν, εἰς τὴν δευτέραν αὐτῶν ἀπείθειαν, ἀλλὰ καὶ ἀντιλέγοντας ὁρῶν ἐπέμεινα ἕως αὐτοὺς οἰκητήριον, ὅτι οἰκεῖον, ἀπέφηνα.

v. 22. Πλὴν ὁ Θεὸς συνθλάσσει κεφαλὰς ἐχθρῶν αὐτοῦ.

Ἐχθρῶν κεφαλαὶ τὰ πρώτως ἐκ τῶν δαιμόνων συμβαίνοντα τὰ νοήματα τῇ ψυχῇ.

v. 24. Ὅπως ἂν βαφῇ ὁ ποῦς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.

Ποῦς Χριστοῦ, ὁ ἐκ Μαρίας ἄνθρωπος, ὅστις διὰ τοῦ πάθους ἐβάφη τῷ αἵματι· ὅπερ αἷμα κωλύουσιν ἡμᾶς οἱ ἐχθροὶ πίνειν, κύνας ἡμᾶς ἀεὶ βουλόμενοι εἶναι, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Οἴδασιν γὰρ ὅτι οἱ τρώγοντες τοῦ Χριστοῦ τὰς σάρκας καὶ πίνοντες αὐτοῦ τὸ αἷμα ἐν αὐτῷ μένουσιν, καὶ αὐτὸς ἐν αὐτοῖς.

v. 28. Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει.

Περὶ Παύλου τοῦτό φασι προφητεύεσθαι.

v. 33. Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ. Διάψαλμα.

Αἱ βασιλεῖαι, ἃς ἔδειξεν ὁ διάβολος τῷ Κυρίῳ, ἃς λαμβάνει, οὐκ ἀπὸ τοῦ εἰπόντος· Πάντα σοι δώσω, ἐὰν πεσὼν προσκύνῃς μοι, ἀλλ' ἀπὸ αἰτήσασθαι τὸν Πατέρα ἔθνη κληρονομίαν ἑαυτῷ.

Τὸ διάψαλμα κεῖται διὰ τό· Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

v. 19. *Ascendisti in altum, cepisti captivitatem, accepisti dona in homine; etenim non credentes inhabitare fecisti.*

Captivitas capta Christi est, naturam rationalem a malitia et ignorantia ad virtutem et scientiam revocare. Eos enim qui non credunt ut inhabitent, non respexi, inquit, in secunda illorum infidelitate, sed videns eos contradicere, sustinui, donec eis uti proprium manifestaverim domicilium.

v. 22. *Verumtamen Deus confringet capita inimicorum suorum.*

Capita inimicorum sunt illæ cogitationes quæ ex dæmone tum primum incidunt in animam.

v. 24. *Ut intingatur pes tuus in sanguine, lingua canum tuorum ex inimicis ab ipso.*

Pes Christi homo est ex Maria natus, ille qui per passionem tinctus est sanguine; quem sanguinem ne nos canes manducemus, prohibent inimici, nos canes esse semper volentes, neque ullatenus ire in agnitionem veritatis. Sciunt enim quod qui comedunt carnes Christi, et bibunt ejus sanguinem, in ipso manent, et ipse in eis.

v. 28. *Ibi Benjamin in mentis excessu.*

Dicunt id fuisse de Paulo prædictum.

v. 33. *Regna terræ, cantate Deo, psallite Domino. Diapsalma.*

Regna terræ sunt, quæ Diabolus ostendit Domino; quæ Christus recipit, non ab isto dicente: « Omnia tibi dabo, si cadens adoraveris me », sed ex eo quod a Patre petiit gentes in hæreditatem. — Diapsalma hic ponitur, ob illud proximum: *Ecce dabit voci suæ vocem virtutis.*

v. 19. Vat. 2, 3. Cf. Heracl. p. 330.
v. 22. Vat. 5.
v. 28, 33, Vat. 5.
v. 33. Vat. 5, 12, 16. Cf. Matth. IV, 9.

v. 34-36. Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς,... καὶ ἡ δύναμις αὐτοῦ ἐν νεφέλαις.

Οἶμαι δὲ αὐτὸν νεφέλας λέγειν τοὺς ἀγγέλους, αὐτοὶ γάρ εἰσιν οἱ διδάσκοντες ἡμᾶς· δύναμις δὲ τοῦ Θεοῦ ὁ Χριστός ἐστιν. — Ἐν ταῖς νεφέλαις, αἷς ἐντέλλεται τοῦ μὴ βρέχειν ὑετὸν ἐν οἷς τέθεικε τόξον αὐτοῦ, ἐν ταύταις δὲ ἁπαργησόμεθα εἰς ἀπάντησιν τοῦ Κυρίου.

v. 34. *Ascendenti super cœlum cœli ad Orientem... Et virtus ejus in nubibus.*

Puto autem ab eo nubes dici angelos. Ipsi enim sunt qui edocent nos. Virtus autem Dei Christus est. — *In nubibus,* quibus præcipitur ne pluant imbrem, quibus posuit arcum suum. In iisdem vero rapiemur in occursum Domini.

v. 34-36. Vat. 5, 14.

Psalmus LXVIII.

v. 2, 3. Σῶσόν με, ὁ Θεός, ὅτι εἰσέλθωσαν ὕδατα ἕως ψυχῆς μου, ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης. *Vat.* 665, 1.

Ὕδατα λέγει τοὺς λογισμοὺς καὶ τοὺς πειρασμοὺς τοὺς εἰσερχομένους εἰς τὴν ψυχήν. Ταῦτα γὰρ ἡ ἀνθρωπεία ἐπεπόνθει φύσις, κατενεχθεῖσα διὰ τῆς ἁμαρτίας εἰς τὸν θάνατον, καὶ εἰς αὐτὸν τοῦ ᾅδου τὸν χῶρον, ὃν καὶ ὕλην βυθοῦ καὶ βάθος θαλάσσης ἐν τοῖς παροῦσιν ὀνομάζει.

v. 13. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ.

Ἀεὶ γὰρ καθεζόμενοι ἐν ταῖς πύλαις τοῦ ἱεροῦ, Ἰουδαῖοι ἔλεγον· Τίς ἂν εἴη ὁ ἄνθρωπος τοῦτος;

v. 14, 15. Ἐγὼ δὲ τῇ προσευχῇ μου

v. 2, 3. *Salvum me fac, Deus, quoniam intraverunt aquæ usque animam meam, infixus sum in limo profundi, et non est substantia; veni in altitudines maris.*

Aquas vocat tentationes et vexationes, quæ animam aggrediuntur. Hæc enim pati solet humanitas, per peccatum in mortem involuta, et in ipsum inferni locum, quem limum altum, altitudinemque maris in his versiculis vocat.

v. 13. *Adversum me loquebantur qui sedebant in porta.*

Semper enim considentes in foribus templi, Judæi aiebant: « Quis est homo iste? »

v. 14, 15. *Ego vero in oratione mea ad*

Ps. LXVIII, v, 2. Vat. 16. Dividit hunc Psalmus Origenes cum vulgato in psalmos Athanasio, cui plura ex nostris data sunt. Sed fortasse totum altius repetundum est. Neque enim Athanasio brevi et conciso, neque Origeni philologico, sed potius Alexandrinis senioribus quadrat archaïca facundia commentarii, qualem repperimus ad psalmum XXXVII. Idem quippe τὸ ὕφος, eadem apposita cæsim juncta, immo eadem illa prosopopœia Christi patientis Patrem alloquentis, ut in v. 6. apud Athanasium: Γέγονε γάρ, κατὰ τὸν ἱερὸν ἀπόστολον, ὁ τοῦ Κυρίου σταυρός, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρία. Σὺ οὖν, ὦ Πάτερ, φησίν, ἔγνως τὴν διὰ τοῦ σταυροῦ οἰκονομίαν. " Tu igitur, o Pater, inquit, nosti œconomiam crucis. " Et in v. 7: Ἐπειδὴ ἐγώ, φησί, κατεδεξάμην ὑπὲρ αὐτῶν γεύσασθαι θανάτου, ἀναιρεθείη ἡ πάλαι κατ' αὐτῶν γενομένη διὰ τὸν θάνατον αἰσχύνη. " Quando, inquit, in me suscepi gustare pro illis mortem, aboleatur ipsis illata olim per mortem infamia. "

v. 13, 14, 15. Vatic. 12, 14. Nostra partim apud vulgatum Athanasium minus recte referuntur ad v. 16, 17, ex quo tamen quædam recepta sunt. — Cf. Hebr. v, 7, ac nota locum Pauli non referri ad clamorem Christi in cruce, sed ad agoniam in horto, Luc. XXII, 42-44. — Ubi δελέασαι τὸν Σατανᾶν, et in fine, respicitur ad Valentiniana somnia, quæ tunc temporis nondum evanuerant, immo sæviebant sub Senioribus Alexandrinis, nec nisi, florente Origene, deridebantur.

πρὸς σέ, Κύριε, καιρὸς εὐδοκίας ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου, ἐπάκουσόν μου ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ, ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων.

Ὅρου κατάρας φρικτῆς προκειμένου, ἵνα κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται, ἢ διδάξῃ ἡμᾶς παρ' ὃ ὁ Παῦλος ἐδίδαξεν, ἀνάθεμα ἔστω, τίς ἐστιν ὁ ὑποκεφαλίσαι Παῦλον, μᾶλλον δὲ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ, δυνάμενος; Οὐκοῦν αὐτὸς ὁ Χριστὸς ἐν τῷ Παύλῳ λαλῶν, περὶ ἑαυτοῦ καὶ εἰς ἑαυτὸν τὴν τοιαύτην εὐχὴν ἀναφέρει, καὶ μαρτυρεῖ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, ὅτι ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, τουτέστιν ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, δεήσεις καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν ἐκ θανάτου, τουτέστι πρὸς τὸν Πατέρα, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσήνεγκε, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ Υἱὸς ὤν, ἔμαθεν ἀφ' ὧν ἔπαθεν, τὴν ὑπακοήν. Ἐνταῦθα Παῦλος καὶ τὰ σεσιγημένα καὶ λείποντα τοῖς εὐαγγελισταῖς ἡμᾶς ἐδίδαξε, μετὰ κραυγῆς ἰσχυρᾶς λέγων γενέσθαι τὴν προσευχήν, τό· Πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. Οὐκ ἐν ὑποκρίσει ἐπὶ τὸ δελεάσαι τὸν Σατανᾶν, οὐ τὸ τοῦ κόσμου οἰκειούμενος θέλημα, ἀλλ' ἐξ οἰκείου προσώπου Χριστὸς οἰκονομικῶς ἑκουσίως προσεύχεται μετὰ κραυγῆς, μετὰ δακρύων, μετὰ ἵδρωτος, καὶ θρόμβου αἵματος, μετὰ ἀγγέλου ἐνισχύοντος, καὶ οἱονεὶ παρακαλοῦντος καὶ παρηγοροῦντος αὐτόν, καίπερ Υἱὸς Θεοῦ ἀληθὴς ὑπάρχων, καὶ ἐν ἀγωνίᾳ γενόμενος προσηύχετο, ὥς φησιν εὐαγγελιστής, ἀλλὰ καὶ ἐκτενέστερον, ἀλλὰ καὶ δίς, ἀλλὰ καὶ τρὶς τὴν εὐχὴν τῷ Πατρὶ προσάγει. Τοῦ οὖν Παύλου, μᾶλλον δέ, πάλιν λέγω, τοῦ Χριστοῦ τοῦ ἐν αὐτῷ τῷ Παύλῳ λαλοῦντος, εἰς ἑαυτὸν ἀναφέροντος τὴν τοιαύτην προσευχήν, τίς ἐστιν ὁ παραχαράξαι δυνάμενος ἃ αὐτὸς ὁ Χριστὸς περὶ ἑαυτοῦ ἐμαρτύρησεν;

te, Domine, tempus beneplaciti Deus, in multitudine misericordiæ tuæ exaudi me, in veritate salutis tuæ. Eripe me de luto, ut non infigar, libera me ab his qui oderunt me, et de profundo aquarum.

Quum tremendum exstet dirarum decretum, quo etiamsi Angelus de cœlo annuntiaverit, docueritve nos quidquam præter quod Paulus edocuit, anathema sit, quis est qui Paulo adversa fronte obsistere possit, tum maxime quum in eo Christus loquatur? Christus ergo in Paulo loquens, de se et ad seipsum refert illam precationem, et in epistola ad Hebraeos testatur, « quod in diebus carnis suæ », nimirum quando ad crucem processit, « obsecrationes et supplicationes ei qui potens erat salvum eum a morte facere, » id est Patri, « cum clamore valido atque lacrymis offerebat, et exauditus est præ reverentia.» Quantumvis Filius erat, didicit ex iis quæ passus est, obedientiam. Hoc loco Paulus ea quæ silentio ab evangelistis prætermissa sunt, edocuit, quando dixit: « cum clamore valido, has fuisse preces emissas: » « Pater, transeat a me calix iste! » non simulate, quasi Satanam inescaret ac deciperet, non quod mundi voluntatem faceret suam, sed Christus ex propria persona, suaque dispensatione et sponte sua, precatur « cum clamore, cum lacrymis, » cum sudore, cum fluxu sanguinis, cum angelo qui confortat eum, et quasi consolatur et hortatur. Etiamsi verus Dei Filius esset, sed factus in agonia deprecabatur, ut ait evangelista, immo prolixius, et usque bis, et usque ter orationem Patri ingeminat. Paulo igitur, quin immo, iterum dico, Christo qui in ipso Paulo loquebatur, eamdem orationem ad se referente, quis est qui perperam adulterare audeat ea quæ ipse Christus de se testificatus est?

v. 23. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα.

Αὐτὴ τοίνυν ἡ τράπεζα κηρύσσει Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν. Αὐτὴ ἡ τράπεζα μὴ νοουμένης τῆς γραφῆς, γεγένηται τοῖς Ἰουδαίοις εἰς παγίδα. Οὐ πᾶσι δὲ ἡ τράπεζα τοιαύτη ἦν, ἀλλ' ἐνώπιον τοῦ λαοῦ ἐκείνου. Ἐπίστησον δὲ εἰ τράπεζα δύναται λέγεσθαι ὁ Χριστὸς, σοφία τυγχάνων ἡ λέγουσα· Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ ὁ ἄρτος ζῶν, ὁ ἐξ οὐρανοῦ καταϐὰς, οὗ ἡ σὰρξ ἀληθινή ἐστι βρῶσις, καὶ τὸ αἷμα ἀληθής ἐστι πόσις. Καὶ γὰρ γέγονεν Ἰουδαίοις εἰς σκάνδαλον καὶ εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν, τῷ ἐκδικεῖσθαι πᾶν αἷμα τὸ ἀπὸ Ἄϐελ ἕως Ζαχαρίου, ἀπὸ τῆς γενεᾶς ἐκείνης, ἐφ' ἧς οἱ ἄρτοι καὶ τὸ ἄριστον, αἱ γραφαὶ εἰσὶν παγὶς, καὶ σκάνδαλον ὑπαρχουσιν τοῖς μόνῳ τῷ γράμματι προσαναπαυομένοις.

v. 23. *Fiat mensa eorum coram ipsis in laqueum.*

Hæc mensa igitur prædicat Christum cruci affixum, Judæis quidem scandalum, gentibus autem stultitiam. Hæc mensa ipsa Scripturæ, non intellectæ, facta est Judæis in laqueum. Haud omnibus tamen talis mensa erat, sed coram ipso illo populo. Disce autem an mensa vocari possit Christus, qui est sapientia illa, dicens : « Venite, manducate panem meum ; et qui est vivus panis, de cœlo delapsus : cujus caro verus est cibus, et sanguis verus est potus. » Etenim factus est Judæis in scandalum, et in laqueum, et in retributionem, ut vindicaretur omnis sanguis ab Abel usque ad Zachariam ex generatione ista, pro qua Scripturæ, panes quidem et convivium, laqueus sunt et scandalum, ut qui sub sola littera omnino prostrati jacent.

v. 24. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νότον αὐτῶν διαπαντὸς σύγκαψον.

Πῶς γὰρ οὐκ ἐσκοτίσθησαν, μὴ δεξάμενοι τὸν τῆς δικαιοσύνης ἥλιον; ἐπήγαγεν αὐτοῖς τὸ ζοφῶδες νέφος τῶν συμφορῶν, εἰς δουλείαν αὐτῶν καταψηφίσαι δέσποτας, ἵνα οἷς ποιοῦσιν, περιπέσωσιν εἰς ἐπίπονον ἐργασίαν συγκεκοφότες. Οὐ γὰρ πρόσκαιρος αὐτοῖς, ὥσπερ ἐπὶ Βαϐυλονίων, γέγονεν ἡ αἰχμαλωσία,

v. 24. *Obscurentur oculi eorum ne videant, et dorsum eorum semper incurva.*

Quomodo enim non obscurati sunt, qui noluerunt solem justitiæ recipere? Induxit eis tenebricosam nubem calamitatum, in servitutem, cum eis decreverit dominos per quos ob facinora sua irruant in gravem laborem incurvati. Non jam enim precaria, ut apud Babylonios, captivitas ingruit.

v. 34. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.

Ταῦτα γνόντες, φησὶν, οἱ τῷ πνεύματι πτωχοὶ ἀγαλλιαθήσονται· λέγουσι δὲ ταῦτα οἱ ἀπόστολοι διὰ τοὺς δι' αὐτῶν πιστεύσαντας.

v. 34. *Quoniam exaudivit pauperes Dominus, et vinctos suos non despexit.*

Quorum memores, inquit, in spiritu pauperes exultabunt. Hæc vero dicunt Apostoli per eos qui ope illorum crediderunt.

v. 23. Vat. 14. 1 Cor. 1, 25. Prov. IX, 15. Joan. VI, 33, 51, 56. Luc. XI, 31. Quæ apud BB. dissoluta sunt et mutila. Nolim theologi leviter legant eucharistica tantæ vetustatis testimonia, neque fastidiant archæologi hunc canonem : Οἱ ἄρτοι καὶ τὸ ἄριστον, αἱ γραφαί, vel τράπεζα, Χριστός, ut S. Melito : *Mensa, Christus Dominus.*

v. 24, 34. Vat. 16.

Psalmus LXIX.

v. 3. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν.

Ζητοῦσιν αὐτὴν οἱ πρὸς κακίαν καὶ ἀγνωσίαν αὐτὴν προτρεπόμενοι· ἐτράπουντο εἰς φυγὴν μετ' αἰσχύνης, τὴν ἐμὴν ὁρῶντες μεταβολήν.

v. 4. Ἀποστραφείησαν παραυτικὰ αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε!

Τό· Εὖγε, εὖγε οἱ δαίμονες λέγουσιν ἁμαρτάνουσιν ἡμῖν. Ἔστιν δ' ὅτε καὶ γελῶτα ἐπέμπουσιν, ἐμπαίζοντες ἡμῖν καὶ ἐναντιούμενοι.

v. 5, 6. Καὶ λεγέτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Θεός, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχὸς καὶ πένης... Καὶ ῥυστής μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς.

Σωτήριον τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Χριστὸς, ὁ μονογένης αὐτοῦ Υἱός. Ἐγὼ δὲ πτωχὸς καὶ πένης, Χριστός φησιν, ἑκουσίως πτωχεύσας διὰ τὸν ἄνθρωπον, ἵνα πλουτίσῃ ἐκεῖνον. — Μὴ χρονίσῃς· τῆς γὰρ σῆς προμηθείας τετύχηκα. Τὸ δέ· μὴ χρονίσῃς ἀντὶ τοῦ· ἐπάρχω ὡς τάχιστά, καὶ μὴ ἀναβάλῃς τὴν αἴτησιν.

v. 3. *Confundantur et revertantur qui quaerunt animam meam.*

Quaerunt eam, ut eam abducant in malitiam et ignorantiam. *Convertantur* in fugam cum ignominia, videntes meam mutationem.

v. 4. *Avertantur statim erubescentes, qui dicunt mihi: Euge, euge!*

Euge, euge, clamant dæmones nobis peccantibus; immo vero fit, ut risum in nobis emittant, nos deridentes et oppugnantes.

v. 5, 6. *Et dicant semper: Magnificetur Dominus, qui diligunt salutare tuum. Ego vero egenus et pauper sum... Et liberator meus es tu, Domine, ne moreris.*

Salutare Dei et Patris est Christus, Unigenitus Dei filius. *Ego vero egenus et pauper sum,* ait Christus qui pauperem se fecit propter hominem, ut eum faceret divitem. — *Ne moreris,* videlicet auspicare quam celerrime, neque rejicias deprecationem.

Ps. LXIX, v. 2. Vat. 5, 6, 7, 14.
v. 4. Vat. 2, 3, 5, 7, 14. In hoc psalmo plura dividit cum vulgato Theodoreto Origenes, cui communi consensu codd. nostri tribuunt scholia in v. 4, 5, 6.
v. 5, 6. Iidem codd. Vat. una cum Florent. Plut. VI, 3. " Christus pauper factus, ut hominem ditaret, „ sententia est Origeni solemnis.

Psalmus LXX.

v. 1, Τῷ Δαυΐδ, υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων, *Vat.* 667, 1.

Ὠριγένους, Ἀθανασίου ὑπόθεσις. Οἱ υἱοὶ τοῦ Ἰωναδὰβ γεγόνασιν ἄνδρες εὐλαβεῖς καὶ

v. 1. *Ipsi David psalmus filiorum Ionadab et priorum captivorum.*

ORIGENIS, ATHANASII ARGUMENTUM. Jonadab filii fuere viri religiosi et justi,

Ps. LXX. Prolixum procemium, ex parte licet editum apud vulgatum Athanasium, haud indignum censui incremento et emendatione juxta codd. Vat. 12, 14. Etiam colligenda de filiis Jonadab varietas apud Corder. ὡς καὶ μάρτυρα τῆς αὐτῶν ἀρετῆς γενήσεσθαι Θεῷ τὸν προφήτην διαλεγόμενον Ἱερεμίαν. Præterea notat Theodoretus reapse filios Jonadab non fuisse primos captivos, " quando quidem, ait, beatus Hieremias vinum ipsis adferre a Deo jussus fuit, ut Judæos redargueret. „ Silent Hexapla edita de inscriptionis varietate, cujus utinam expositio fieret in codd. minus ambigua et dissoluta. Cf. Rom. x, 6. 1 Cor. xv, 22.

δίκαιοι, καὶ τῶν τοῦ πατρὸς ἐντολῶν φύλακες ἀκριβεῖς· καὶ οὕτω θεοσεβεῖς καὶ τὸ ἦθος χρηστοὶ, ὡς καὶ μάρτυρα τῆς αὐτῶν ἀρετῆς γενέσθαι τὸν Θεὸν, τῷ προφήτῃ διαλεγόμενον Ἱερεμίᾳ. Ἐπὶ τούτων δὴ καὶ ἡ πρώτη τῆς Ἱερουσαλὴμ, ὑπὸ Χαλδαίων ἅλωσις γεγένηται.

Σχοῖεν δ' ἂν οὗτοι πρόσωπον τοῦ ἀποστολικοῦ χοροῦ, τοῦ καὶ σφόδρα τὰς τοῦ ἐπουρανίου Πατρὸς φυλάξαντος ἐντολὰς, καὶ τοὺς ἐπαίνους εἰληφότος, διὰ τῶν πρὸς αὐτοὺς εἰρημένων μακαρισμῶν. Ὁμοίως γοῦν καὶ ἐπὶ τούτων τῶν ἀποστόλων, φημὶ, ἡ πρώτη τῆς Ἱερουσαλὴμ αἰχμαλωσία ὑπὸ Ῥωμαίων ἐγένετο.

Εἰσάγονται τοίνυν οὗτοι οἱ θεοφιλεῖς ἄνδρες, τουτέστιν ὁ ἀποστολικὸς χορὸς, διὰ προκειμένου ψαλμοῦ εὐχὴν καὶ εὐχαριστίαν ἀναφέροντες τῷ Θεῷ. Ἐφ' οἷς θλιβομένους αὐτοὺς ἀπὸ τῶν διωκόντων διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, ἀπὸ τῶν νοητῶν ἐπιβούλων τῆς αὐτῶν ψυχῆς δαιμόνων διέσωσεν· ἔπειτα ὑπισχνούμενοι μόνας τὰς δι' αἰνέσεως ἀναπέμπειν θυσίας, ἀπηλλαγμένοι δηλονότι τῆς κατὰ νόμον λατρείας.

Ἐκ δὲ τῶν Ο' τῆς ἐκκλησιαστικῆς ἐκδόσεως ἐπιγραφὴν ἐχούσης· Ὑπὲρ τῶν υἱῶν Ἀδὰμ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων.

Καὶ μετ' ὀλίγον. Οἱ μὲν ἐμπαθεῖς τὰ ὄμματα τῆς ἀκτῖνος χωρίζονται· οἱ δὲ ὑδροφοβοῦντες [κατὰ] τῆς τοῦ ὕδατος ὄψεως [δυσχεραίνουσι]· τὸν αὐτὸν τρόπον καὶ ἡ τῶν Ἰουδαίων κακία, διὰ τὸ μὴ θέλειν ὁμολογεῖν τὴν δόξαν τοῦ θείου κηρύγματος, ἀπαράδεκτον ποιεῖ διὰ τῆς σιωπῆς τὴν ἀλήθειαν.

Ἔξεστιν δὲ καὶ διὰ τῆς ψαλμῳδίας ἐπιγνῶναι τὰ τῆς προφητείας αἰνίγματα· λέγει γὰρ περὶ τῶν πρώτων αἰχμαλωτισθέντων, ὡς ἐκ προσώπου τοῦ ἀνθρώπου, ὅτι ὅσας ἔδειξάς μοι θλίψεις καὶ τὰ ἑξῆς. Τοῦτο δὲ σαφέστερον ἐκ τοῦ Παύλου νοήσωμεν, πῶς ἐκ τῶν ἀβύσσων ἀνάγεται ὁ τῷ βάθει τῆς ἁμαρτίας καθελκυσθεὶς, περὶ οὗ φησι· Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· τίς ἀναβήσεται

paternorum præceptorum strenui custodes; atque adeo pii erga Deum, moribus ita commendati, ut virtutis eorum testis Deus factus sit, in colloquio cum propheta Jeremia habito. Quorum tempore primum a Chaldæis actum est Hierosolymæ excidium.

Possit etiam in iisdem haberi persona apostolici collegii, utique cœlestis Patris mandata egregie custodientis, suas quoque laudes adepti propter beatitatis encomia de ipsis pronuntiata. Similiter sub eorumdem temporibus, apostolorum inquam, facta etiam est prima sub Romanis Solymorum captivitas.

Introducuntur porro viri hujusmodi Dei amici, nimirum chorus apostolorum, juxta præsentem psalmum, preces et gratiarum actiones pro se Deo redhibentes, ut ipsi vexati liberentur tum ab iis qui ob evangelium eos persequuntur, tum a spiritualibus animarum suarum insidiatoribus dæmonibus, polliciti porro et solas se laudis hostias esse oblaturos, cultus videlicet legali jam immunes.

Sed ecclesiastica LXX interpretum editio præ se fert inscriptionem: *Super filios Adam et priores captivos.*

Ac paulo post: Alii quidem oculos capti, radio solis privantur; alii vero aquam velut ab ipso conspectu reformidant. Eodem sane modo, ipsa quoque Judæorum malitia, ideo quod noluit confiteri gloriam præconii evangelici, repudiatam fecit veritatem silentio prætermissam.

Præterea in promptu quoque est per hanc psalmodiam agnoscere prophetiæ ænigmata. Ait enim circa priores captivos, tanquam ex hominis persona: *Quantas ostendisti mihi tribulationes,* et cætera (v. 20): id vero clarius intelligemus ex apostolo Paulo, quomodo ex abysso eripiatur ille qui in profundum peccati raptus est, de quo ait: « Nec dicas in corde

εἰς τὸν οὐρανόν; ὅθεν γὰρ εἰσῆλθεν εἰς τὸν κόσμον ὁ θάνατος, ἐκεῖθεν ἐξώκισται μεθ' ὅλου κατεχομένου τοῦ αἰχμαλώτου ὑπὸ τοῦ θανάτου· κατέβη διὰ τοῦ πάθους εἰς τὴν ἄβυσσον ταύτην· ἐφ' ᾧ τε συναγαγεῖν ἑαυτῷ πάλιν ἐπὶ τὰ ἄνω τὸν βύθιον· ταῦτα γὰρ ὁ ἀπόστολος διεσάφησε μετ' ἀκριβείας, ἄλλα τε πολλὰ περὶ τούτων εἰπών, φησὶ καὶ τοῦτο· ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτω, καὶ τὰ ἑξῆς. Διὰ τὸ γενέσθαι τὴν ἐπιγραφήν· Ὑπὲρ τῶν υἱῶν Ἀδὰμ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων, διὰ τὴν τῆς σαρκὸς οἰκονομίαν τοῦ Κυρίου, βύουσι τὴν ἀκοὴν Ἑβραῖοι, καὶ τὴν ἐπιγραφὴν οὐ προσδέχονται.

v. 4. Ὁ Θεὸς, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ· ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.

Χεὶρ ἁμαρτωλοῦ, ἡ ἁμαρτητικὴ πρᾶξις. Αἰτεῖ δὲ μηδὲ κατὰ ποσὸν αὐτῇ ἐνεργεῖν· σκόπει δὲ εἰ ἕν ἐστιν ὑποκείμενος ἁμαρτωλὸς καὶ ἄδικος καὶ παράνομος. Δοκεῖ γὰρ ἁμαρτωλὸς ὁ ἀδικῶν καὶ παράνομος· εἰ δὲ τὰ τρία δηλοῖ τὸν διάβολον, χεῖρα ληπτέον αὐτοῦ τὴν ὅσην στρατιωτικὴν αὐτοῦ δύναμιν· ῥυσθῆναι τοίνυν ἐξ ἀκαθάρτων πνευμάτων αἰτεῖ, ὑπὸ τὴν κραταιὰν χεῖρα γενόμενος τοῦ Θεοῦ, ἀφ' ἧς οὐδεὶς ἁρπάσαι δυνήσεται.

v. 11. Λέγοντες· Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν, καταδιώξατε καὶ καταλάβετε αὐτόν.

Ταύτας τὰς φωνὰς τέθεικεν, ὡς ἀπὸ δαιμόνων λεγομένας ἐπὶ τοῖς ἐγκαταλειφθεῖσιν, αἵ τινες οὐκ ἂν ἐῤῥήθησαν, εἰ μὴ ἐγκατελείφθη ὁ ἄνθρωπος. Ἔχομεν γὰρ ἐν ταῖς Βασιλείαις, ὅτι Κύριος ἀπέστη ἀπὸ Σαοὺλ, καὶ πνεῦμα πονηρὸν παρὰ Κυρίου ἔπειγε τὸν Σαούλ· ἀλλ' εἰ καὶ ταῦτά φασιν ἐκεῖνοι, φησὶν καὶ ἔργῳ· Μὴ ἐπιθῶνται· μὴ μακρύνῃς τοῦ πάλιν τὴν σὴν προσνεῖμαι βοήθειαν.

v. 4. Vat. 6.

tuo: Quis ascendit in cœlum? Ex quo enim intravit mors in mundum, exinde sedem habet cum quocumque captivo sub morte posito.» Descendit autem per passionem in abyssum illam, ut secum rursus colligeret immersum, ad superiora reducem. Hæc namque Apostolus explicuit accurate, cum inter multa dixit illud: « Sicut in Adam omnes morimur, ita in Christo omnes vivimus etc. » Respectu ad inscriptionem *Super filios Adam et super priores captivos,* ob factam in carne Christi œconimiam, obturant aures Judæi, neque epigraphen accipiunt.

v. 4. *Deus, eripe me de manu peccatoris, de manu contra legem agentis et iniqui.*

Manus peccatoris est actus peccandi. Petit autem ut ne tantillum cum ea manu operetur. Considera autem utrum unum idemque subjectum sit peccator et exlex et iniquus: videtur enim peccator etiam legis inimicus et iniquus esse. Si autem hæc tria Diabolum significant, manus ejus accipienda est quasi pro hostili ejus virtute. Petit itaque ab immundis spiritibus liberari, sub potenti manu Dei constitutus, ex qua nemo eripere poterit.

v. 11. *Dicentes: Deus dereliquit eum, persequimini, et comprehendite eum.*

Has voces proposuit, ut a dæmonibus elicitas adversus derelictos, quæ non effutirentur, nisi desereretur homo. Habemus enim in Regum libro quod Deus recessit a Saüle, et spiritus nequam a Domino Sauli missus est. Sed quamvis hæc dæmonia loquantur, ait ex opere ipso: In me ne irrumpant, tu noli procrastinare iterum præstare tuum auxilium.

v. 11. Vat. 5, 16.

v. 14. Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ.

Δυνατὸν μὲν διαπαντὸς αἰνεῖν τὸν Θεὸν, καὶ διαπαντὸς εὐλογεῖν, καὶ διαπαντὸς σωφρονεῖν καὶ δικαιοπραγεῖν. Πῶς δὲ δυνατὸν διαπαντὸς ἐλπίζειν; Ὁ γὰρ ἐλπίζων διαπαντὸς, οὐδέποτε τυγχάνει τοῦ πράγματος ἐκείνου οὗ ἐλπίζει τυχεῖν. Καὶ ὁ μὲν ἐρεῖ τὸ διαπαντὸς οὐ κατὰ τοῦ πλάτους τῶν αἰώνων τεθεῖσθαι, ἀλλὰ κατὰ τῆς ζωῆς τῆς αἰσθητῆς. Ἕτερος δὲ καὶ κατὰ τοῦ πλάτους τῶν αἰώνων τὸ διαπαντὸς ἐκλείψεται, ἵν' ᾖ τὸ πέρας τῆς ἐλπίδος ἡ γνῶσις τῆς Τριάδος. Ὁ δὲ τρίτος ἐρεῖ τεθεῖσθαι τὸ διαπαντὸς ἐπὶ τῆς ἁγίας Τριάδος· αὐτὴ γὰρ μόνη ἡ γνῶσίς ἐστιν ἀπέραντος.

v. 22. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός.

Σκεῦος ψαλμοῦ, ψυχὴ καθαρά· σκεύη δὲ ψαλμοῦ, δι' ὧν ὕμνους ἀναπέμπει Χριστὸς τῷ Πατρὶ, οἱ καθ' ἑκάστην ἐκκλησίαν λαοὶ, ὧν ἥρμοσε τὰς ψυχὰς, παραστήσας αὐτοῖς τὴν ἀλήθειαν, ἀλλ' οὐ τύπους καὶ σύμβολα νομικὰ, γλῶσσαν ἔχων καὶ χείλη τοὺς αὐτῶν διδασκάλους.

v. 24. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσι καὶ ἐντράπωσιν οἱ ζητοῦντες τὰ κακά μοι.

Ζητοῦσι δὲ αὐτῷ κακὰ βλασφημοῦντες αὐτόν· ἑτοιμὴ δὲ ἡ γλῶσσά μου, Ἀκύλας ἔχων πρόφασιν· καταισχύνονται. — Τὴν τῆς ψυχῆς ἁρμονίαν φησιν· ὅταν γὰρ μηδὲν ἐνάντιον ἐν αὐτῇ ἡ γλῶσσα ποιῇ ἢ πάσχῃ, ἡ ψυχὴ, τότε δὴ νοητὴ, καθάρα κληθείη δικαίως.

v. 14. *Ego autem semper sperabo.*

Fieri quidem potest ut semper Deus cantetur, ut semper benedicatur, et ut semper caste agatur et justa fiant. Sed qui potis est sperare semper? Qui enim semper sperat, numquam id quod sperat, consequitur. Alius vero dicet illud *semper* spectare non latitudinem sæculorum, sed vitam istam. Alius in contrario de spatio sæculorum *semper* intelliget, ut spei terminus sit cognitio Trinitatis. Tertius autem dicet poni *semper* respectu ad sanctam Trinitatem. Hæc enim sola cognitio est sine termino.

v. 22. *Nam et ego confitebor tibi in vasis psalmi veritatem tuam, Deus.*

Vas psalmi, anima pura. Vasa autem psalmi organa sunt, quibus Christus Patri hymnos dicat, scilicet sparsi per ecclesias populi, quorum sonoras efficit animas, dum eis proposuit veritatem, non per typos et symbola legalia, linguam et labia sibi assumens in illorum magistris.

v. 24. *Adhuc autem et lingua mea tota die meditabitur justitiam tuam. Cum confusi et reveriti fuerint, qui quærunt mala mihi.*

Ipsi quærunt mala, blasphemantes eum. *Parata autem lingua mea,* habet Aquila, præmisso: *confundantur.* Loquitur de harmonico animæ concentu. Anima enim quando in se lingua nihil facit neque patitur contrarium, tunc sane spiritualis, merito cithara vocatur.

v. 14. Vat. 5, 16. Post Athanasium et Theodorum Heracl. cuncta auctius colligere eo magis placuit quod ibi tres seniores Alexandrini ab Origene recoli videntur, quorum scholia Corderius misere truncavit. Nostra, si minus integra sunt, certe sapiunt Alexandrinos.

v. 22, Vat. 12,14.

v. 24. Vat. 12.

Psalmus LXXI.

v. 8. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης. *Vat.* 667, 2.

Λέγει τὸν Ἰορδάνην, ἐφ' ᾧ βαπτισθεὶς ὁ Χριστὸς, ὑπὸ τοῦ Πατρὸς ἐμαρτυρώθη. Ἀπὸ τότε γὰρ ἤρξατο, φησὶν, ὁ Κύριος κηρύσσειν καὶ λέγειν· τοῦτο οὖν ἡ προφητεία αἰνίττεται.

v. 9. Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

Ἀντὶ τοῦ· σπανιοῦσιν οἱ χοϊκοί.

v. 10. Βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι.

Προθεσπίζει τὰ περὶ πάντων αὐτῷ καὶ βασιλέων καὶ βαρβάρων προσκομιζόμενα.

v. 14. Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.

Τὴν μὲν κατὰ διάνοιαν ἁμαρτίαν, ἀδικίαν ὠνόμασεν· τὴν δὲ κατ' ἐνέργειαν ἁμαρτίαν, τόκον. Καὶ τοκιζόμεθα μὲν ἁμαρτάνοντες, ἀδικούμεθα δὲ ἐννοοῦντες. Διὸ πρότερον τὸν τόκον περιερεῖ, ὕστερον δὲ καὶ τὴν ἀδικίαν αὐτήν. Δεῖ γὰρ πρῶτον ἀπέχεσθαι τῆς ἁμαρτίας, εἶτα τῆς κατ' ἔννοιαν ἡμῖν γενομένης. — Καὶ ἔντιμον, φησὶ, τὸ ὄνομα αὐτοῦ. Σεβάσμιος παρὰ πᾶσιν ἔσται καὶ ἔνδοξος, ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου μεγάλῳ. Καὶ δότε δόξαν τῷ ἐνιόντι αὐτῷ. Πῶς οὖν ἔλαβε; ὅπερ ἔχει, ἀεὶ φαίνεται.

v. 15. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας.

Τὸ δὲ ζήσει, ἀντὶ τοῦ διαμενεῖ ὅσον τέθεικεν.

v. 8. *Et dominabitur a mari usque mare, a flumine usque in fines orbis terrarum.*

Flumen dicit Jordanem, in quo Christus aqua tinctus a Patre testimonium habuit. Ex hoc incoepit Dominus, ait, prædicare et loqui. Id ipsum ergo prophetia asserit.

v. 9. *Et inimici ejus terram lingent.*

Videlicet terrestres viri evanescent.

v. 10. *Reges Arabum et Saba dona adducent.*

Præoccupat ea quæ ipsi ab omnibus tum regibus tum barbaris comparantur.

v. 14. *Ex usura et iniquitate redimet animas eorum, et honorabile nomen eorum coram illo.*

Peccatum menti conceptum vocavit iniquitatem; operi autem mandatum, usuram. Fenus quidem exercemus, peccando; verum cogitando malum, iniqui sumus. Ideo primum tollit usuram, post modum iniquitatim ipsam. Oportet enim prius ab peccato operis, deinde cogitatu in nobis concepto abstinere nos. — *Et honorabile,* inquit, *nomen ejus.* Venerandus et gloriosus eris omnibus, Deus, in nomine tuo magno. Et date gloriam ipsi ad nos venienti. Atqui quomodo quid accipit? Quod habet, in æternum est.

v. 15. *Et vivet, et dabitur ei de auro Arabiæ.*

Id vero *et vivet,* id est manebit quantum disposuit.

Ps. LXXI, v. 8. Florent. Plut. VI, 3, ex quo plura porro et optima haurienda sunt.
v. 9. Vat. 5.
v. 10. Idem Florent.
v. 14. Vat. 4, 5, 12, 14, 16.
v. 15. Iterum Florent.

Psalmus LXXII.

v. 1. Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεός. *Vat.* 668, 2.

Καρπὸς Χριστοῦ τὰ πιστεύσαντα ἔθνη καὶ ὑψωθέντα ἐπὶ θεοσεβείᾳ ὑπὲρ τὸν Ἰσραήλ.

v. 2. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.

Πόδας δὲ καὶ διαβήματα τοὺς ὑπεριδόντας τὴν εὐσέβειαν λογισμοὺς καλεῖ τροπικῶς, κατὰ τῆς διανοίας κινήματα καὶ διανοήματα, ἅπερ ἐχέονται καὶ χαυνοῦνται, ὅταν ἐπὶ τὸ χεῖρον τράπωσιν. Τοιαύτη ἡ γυνὴ Λώτ· τοιοῦτος ὁ ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄρατρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω· τοιοῦτοι οἱ πεσόντες ἐν τῇ ἐρήμῳ. Ἵνα δὲ φοβηθῇς ἐκχέοντα διαβήματα, ἄκουε τοῦ ἐν τῷ Ἰεζεχιὴλ Κυρίου λέγοντος· Δίκαιος, ἐὰν ἀποστρέψῃ ἀπὸ τῶν δικαιοσυνῶν αὐτοῦ, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθήσονται. Τινὲς γὰρ ἐν ἀσκήσει καὶ πάσαις ἀρεταῖς διαλάμψαντες, ὕστερον ὑπεσύρησαν εἰς βίον χαυνώτερον. Πλὴν ἐγώ, φησίν, οὐχ ὠλίσθην, ἢ γὰρ ἂν ἀπωλόλην, ἀλλά μοι κατευθύνθη τὰ κατὰ Θεὸν διαβήματα, μὴ παρ' ὀλίγον, μηδ' ὅλως ἐκχεόμενα· οὕτω τῶν οἰκείων λογισμῶν δημοσιεύσας τὴν ζάλην. Οὐ γὰρ περὶ ποδῶν καὶ διαβημάτων, ἀλλὰ περὶ λογισμῶν χωλευόντων λέγει, καὶ ὅτι ἐγγὺς ἐγένετο τοῦ διαχυθῆναι καὶ διαλυθῆναι τῶν ποδῶν τὰς βάσεις, ὡς μηδὲ στάναι δύνασθαι τοῦ λοιποῦ, ἀλλὰ περιτραπῆναι καὶ εἰς ὄλισθον ὑποσυρῆναι. Καὶ τὴν αἰτίαν ἐπάγει λέγων·

v. 3, 4. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις,

Ps. LXXII, v. 1. Vat. 3.
v. 2. Vat. 15. Gen. XIX, 26. Luc. IX, 62. Ezech. III. 20; XXXIII, 18.

v. 1. *Quum bonus Deus populo Israel!*

Christi fructus sunt populi qui credunt, et provehuntur divinam ad religionem, posthabito Israel.

v. 2. *Mei autem pene moti sunt pedes, paulo minus effusi sunt gressus mei.*

Pedes autem et *gressus* allegorice vocat tentationes, quæ labefactant pietatem, ob mentis scilicet motus et cogitatus, qui effunduntur et vacillant, quando ad deteriora vergunt: qualis erat mulier Loth; qualis ille « qui quum manum miserit ad aratrum, postea reversus est retrorsum »; quales illi qui in deserto ceciderunt. Unde autem reformides gressus effusos, audi apud Ezechielem Domini sermonem: « Justus si perversus fuerit a justitiis suis, omnes illius justitiæ quas fecit, non memorabuntur amplius ». Nonnulli enim, jam ascesi et cunctis virtutibus præfulgentes, postremo abrepti sunt in viam magis lubricam. Attamen ego, inquit, non lapsus sum, immo non despondi animum, sed recti gressus manserunt mihi ad Dominum, neque paululum, neque ullo modo effusi sunt: sic intimorum cogitatuum in procella me composui. Haud enim de pedibus et gressibus, sed de lubricis tentationibus loquitur; et quia prope factum est ut effunderentur et dissolverentur solidæ pedum bases, unde porro stare nequiret, sed circumverti et subtrahi in exitium cœpisset, hujus rei causam subdit, dicens:

v. 3, 4. *Quia zelavi super iniquos, pacem*

v. 3, 4. Vat 2, 15. Aliquid fort. diest, ubi ἀπαγόρευσις in cod. vel quod præstat ὑπαγόρευσις respectu ad II. Cor. 1, 9.

εἰρήνην ἁμαρτωλῶν θεωρῶν· ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν.

Τὰ τὸν κλόνον αὐτῷ ποιήσαντα τῆς ψυχῆς ἀφηγεῖται· ὅτι ὑπὸ τῆς εἰρήνης τῶν ἁμαρτωλῶν καὶ τῆς κατὰ τὸν βίον εὐροίας τῶν [ἄλλων ὄντων] ἐν κοπετῷ· Ἐπυρπολούμην, φησί, βλέπων τοὺς παρανομίᾳ καὶ πονηρίᾳ συζῶντας, ἐν εἰρήνῃ βαθείᾳ καὶ εὐποτμίᾳ πολλῇ, ὡς καὶ μέχρι θανάτου τὴν εὐημερίαν αὐτοῖς ἐκτείνεσθαι, καὶ τὸν θάνατον δὲ ὄντως εὐδαίμονα τούτους ὑπομένειν· ὡς ζηλοῦσθαι παρὰ πάντων, καὶ μηδένα ἀνανεύειν, εἴ τις αὐτὸν ἔροιτο, εἰ βούλοιτο τοιούτου θανάτου τυχεῖν· ἀλλ' ἐθέλει ἕκαστος οὕτως ἀποθανεῖν· μᾶλλον δὲ ἐν κινδύνοις καὶ δυσπαθείαις ἐξεταζόμενοι, ἑαυτοὺς ὑπαγορεύουσιν, ὡς τῆς ἀνανεύσεως δηλούσης τὴν ἀπαγόρευσιν ἢ καὶ τὴν μνήμην τοῦ θανάτου. Εἰ δέ που ἄρα καὶ συμβῇ τῇ ἁμαρτίᾳ αὐτῶν ἐπιστρεπτικὴ μάστιξ, οὐδὲ αὐτὴ στερεά ἐστι καὶ ἐπίπονος, ἀλλ' ἐλαφρὰ καὶ εὐπαρακόμιστος ἐξ ἐπιπολῆς τρέχουσα· πρὸς ὀλίγον γὰρ αὐτοῖς προσπελάζει τὰ λυπηρά, εἶτα ἀπαλάττονται· ἐν κόποις κἂν ἄρ' οὖν αὐτοῖς τὰ πράγματα φέρεται, καὶ οὔτε πόνοις, οὔτε ταλαιπωρίαις, οὔτε παιδείαις περιβάλλονται, ἄλλοις ἀνθρώποις παραπλησίως μαστιζομένοις δι' ἐπιπόνου βίου· ὁ γὰρ διὰ χειρῶν πόνος καὶ τὸ δέεσθαι τῆς καθ' ἡμέραν ἐργασίας εἰς διατροφήν· οἷον ἀντὶ μαστίγων τοῖς ἀνθρώποις δέδοται, ἐπὶ τοιούτοις πολλοὶ καὶ νῦν σκανδαλίζονται εἰρήνην οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν. Ἀνάνευσιν λέγει τὴν μνήμην τοῦ θανάτου.

v. 7. Ἐξελεύσεται, ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν.

Στέαρ δὲ πολλάκις ἔφημεν τὴν εὐπάθειαν καὶ τὴν εὐκληρίαν, ὡς ἐν τοσαύτῃ τοίνυν,

peccatorum videns, quia non est respectus in morte eorum, et firmamentum in flagellis eorum.

Exposuit quæ causa fuerit cur anima turbaretur. Etenim propter pacem peccatorum in secundo rerum fluxu viventium, præ cæteris in luctu degentibus, succensebar, inquit, cernens eos qui convivunt in nequitia et flagitiis, alta frui pace et opipara felicitate, adeo ut usque ad obitum prosperos dies suos producant, immo etiam mortem vere beatam oppetant, ita ut omnes æmulentur, ac nemo hæsitaverit, si quis eum siscitetur an vellet similem assequi interitum, quin unusquisque ita mori velit. Verum enimvero qui in periculis, calamitatibusque probantur, sibi met id probro vertunt, ac si infausta sententia declaret damnationem, mortemque comminiscatur. Quod si forte inter peccandum istis subierit flagellum, eos emendandi gratia, id ipsum neque durum est, neque diuturnum, sed leve et toleratu facile, ac prompto cursu diffugiens. Vix enim modicum mœsta eos attingunt, porro amoventur. Quod si forte an molesta illis negotia succedant, neque laboribus involvantur, neque miseriis, neque castigationibus, quibus cæteri homines supra modum per continuam vitam impinguntur. Labor enim manuum et quotidiani operis necessitas ad sustentandam vitam quoddam velut flagellum mortalibus accessit. Propterêa multi etiam nunc scandalum de hac pace accipiunt: *quia non est respectus in morte eorum.* Respectum dicit mortis memoriam.

v. 7. *Prodibit quasi ex adipe iniquitas eorum.*

Adipem vero sæpenumero diximus esse jucundam et prosperam fortunam,

v. 7. Vat. 13.

φησὶν, ὄντες εὐημερίᾳ μετὰ πάσης ἀδείας τὴν ἀδικίαν ἐτόλμων.

v. 8. Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.

Οὐ λογίζονται ἑαυτοὺς εἶναι ὡς ἕκαστος τῶν ἀνθρώπων, οὐδὲ ὅτι μετὰ τῶν ἀνθρώπων μέλλουσιν κρίνεσθαι.

v. 10, 11. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς. Καὶ εἶπαν· Πῶς ἔγνω ὁ Θεὸς, καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ;

Ζητήσεις τοῦτό πως. Ὁ μὲν γὰρ Θεὸς, φησὶν, ἐκεῖνα ὑπέσχετο· οὗτοι δὲ παρ' ἑαυτοῖς ἐλογίζοντο οὕτως μήτε ἐφορᾶν τὸν Θεὸν, μηδέ τι τῶν γενομένων εἰδέναι. Εἶτα δείξας τὴν τούτων ἀσέβειαν, τοὺς οἰκείους ἐκφέρει λογισμούς. Ὁ μὲν ἐμὸς λαὸς, φησὶν, ἐκ τοῦ καταβληθῆναι τοὺς εὐσεβεῖς, ὠφεληθήσεται. Οἱ δὲ προλεχθέντες δυσσεβεῖς καὶ ἄθεοι, οὕτως ἠσέβουν ὡς σκάνδαλον γενέσθαι τοῖς ὁρῶσι τὸν βίον αὐτῶν καὶ ὡς μηχανεύειν καὶ λέγειν· Πῶς ἔγνω; ἀντὶ τοῦ· Πῶς γινώσκει τὰ καθ' ἡμᾶς καὶ διώκει; λέγεται· καὶ πῶς γνῶσιν ἔχει τῶν ἡμετέρων; Ὁ δὲ Σύμμαχος σαφέστερον· Οἱ δε ἔλεγον· Πῶς ἔγνω ὁ Θεὸς, εἰ ἔστι γνῶσις ἐν τῷ ὑψιστῷ;

v. 13. Καὶ εἶπα· Ἄρα ματαίως ἐδικαίωσα, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου.

Ὠριγένους, Θεοδωρήτου. Τί γὰρ ἐκέρδανα, φησὶ, πόῤῥω τῶν πονηρίᾳ συζώντων γενόμενος· τὸ γὰρ ἐνιψάμην, ἀντὶ τοῦ ἀθῶον ἐμαυτὸν ἐφύλαξα· οὐκ ἐκοινώνησα τοῖς κακοῖς ἐπὶ μελέτης καὶ δικαιοσύνης, καὶ τῆς κακίας τὴν κοινωνίαν φυγὼν, καὶ αἰκίζομαι καὶ παροινοῦμαι καθ' ἑκάστην ἡμέραν.

v. 8. Vat. 3. — v. 10, 11. Vat. 3, 5, 12.

adeo, inquit, ut in tam luculenta beatitate injustitiam cum tota facilitate affectent.

v. 8. *Cogitaverunt et locuti sunt in malignitate, iniquitatem in altum locuti sunt.*

Non cogitant se esse sicut quisque hominum, neque futurum esse ut cum cæteris judicentur.

v. 10, 11. *Ideo revertetur populus meus illic, et dies pleni invenientur in eis. Et dixerunt: Quomodo scivit Deus? Et num est scientia in Altissimo?*

Tu illud *quomodo* forte quæres. Etenim, inquit, Deus hæc et hæc promisit; illi autem secum cogitabant, minime Deum desuper considerare, nec quidquam eorum quæ fiunt, cernere. Sed postquam ostendit propheta horum hominum impietatem, tum suas proprias subjicit considerationes. Populus meus, inquit, ex afflictione virorum piorum habebit emolumentum. Supra autem dicti homines, impii et athei, eo usque improbe grassabantur, ut scandalum fierent cernentibus illorum vitam, audeantque cogitare et dicere. *Quomodo novit?* Ac si dicatur: Quomodo cognoscit nostra facinora ac persequitur? Dicitur: Quomodo rerum nostrarum notitiam habet? Symmachus autem magis perspicue: *Quomodo novit Deus, aut forte cognitio sit in Altissimo?*

v. 13. *Et dixi: Ergo sine causa justificavi cor meum, et lavi inter innocentes manus meas.*

Origenis, Theodoreti. Quid enim lucratus sum, inquit, procul a viventibus in injustitia remotus. Verbum enim hoc *lavi,* idem est ac: me innocentem custodivi, haud communicavi cum improbis; meditationi justitiæ intentus, malitiæ societatem fugiens, opprobria patior et contumelias singulis diebus.

v. 13, 14. Vat. 5.

v. 14 Καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας.

Ζητήσεις καὶ τοῦτο καὶ πειράσεις τοῦ γνῶναι.

v. 16, 17. Καὶ ὑπέλαβον τοῦ γνῶναι, τοῦτο κόπος ἐστὶν ἐναντίον μου, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.

Ὁμοίως διὰ τῆς ἁμαρτίας αὐτῶν ηὐτρέπισας αὐτοῖς κολάσεις αἰωνίας.

v. 21. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν.

Ταῦτα λογιζόμενος ὑπὸ τῆς ἐκείνης παρονομίας, ἐπυρπολούμην. Ἀναλαβὼν γὰρ τὸ προοίμιον, ὅ ἐστιν· Ἐζήλωσα ἐν τοῖς ἀνόμοις, καὶ ὅπερ ζῆλον ἐκάλει, τοῦτο ἐνταῦθα [λέγει] καρδίας ἔγκαυσιν. Καὶ οἱ νεφροί μου ἠλλοιώθησαν. Νεφροὺς τοὺς λογισμοὺς ἀσεβεῖς φησιν· ἔχων τοὺς λογισμούς, μικρὸν δεῖν, ἐξετράπην διὰ τὴν ἐκείνων ἀλαζονείαν.

v. 23. Καὶ ἐγὼ διαπαντὸς μετὰ σοῦ.

Μετὰ Θεοῦ λέγεται εἶναι, πρῶτος μὲν ὁ τὴν ἁγίαν γινώσκων Τριάδα, καὶ μετ᾽ αὐτὸν, ὁ τοὺς λόγους τοὺς περὶ τῶν νοητῶν θεωρῶν· τρίτος δὲ πάλιν ὁ καὶ αὐτὰ ἀσώματα βλέπων· καὶ πάλιν τέταρτος ὁ τὴν θεωρίαν ἐπιστάμενος τῶν αἰώνων· ὁ δὲ τὴν τῆς ψυχῆς ἀπάθειαν κεκτημένος, πέμπτος ἂν τούτοις συγκαταχθείη δικαίως.

v. 27. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται· ἐξωλοτρεύσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.

Περὶ εἰδώλων λέγει. Παύσωμεν τῆς νο-

v. 14. *Et castigatio mea in matutinis.*

Quæres etiam hoc, et cognoscere probabis.

v. 16, 17. *Et suscepi cognoscere, hoc labor est ante me, donec intrem in sanctuarium Dei, et intelligam in novissima eorum.*

Videlicet propter eorum peccata præparasti illis æterna supplicia.

v. 21. *Quia inflammatum est cor meum, et renes mei commutati sunt.*

Ego mecum talia recogitans, de hac legum eversione, exardescebam. Assumpto enim hoc exordio: *Zelatus sum super injustos,* quod zelum vocabat, in hoc loco dicit cordis incendium. — *Et renes mei commutati sunt.* Renes dicit tentationes: impia, inquit, consilia volvens, paulo minus subvertebar, ob horum hominum arrogantiam.

v. 23. *Et ego semper tecum.*

Cum Deo primus esse dicitur is qui sacram agnoscit Triadem; secundus, ille qui contemplatur rationes rerum spiritualium; tertius insuper, qui etiam incorporea intuetur; quartus præterea, qui theoriam rerum æternarum consecutus est; qui vero tranquillissima anima potitur, quinto loco hisce merito jure accensebitur.

v. 27. *Qui ecce qui elongant se a te peribunt; perdidisti omnes qui fornicantur abs te.*

De idolis loquitur: mores nostros a

v. 16, 17. Vat. 5.

v. 21. Vat. 2, 12.

v. 23. Vat. 5, 12, 14.

v. 27. Vat. 2, 5, 6, 12, 14. Plura in medio scholio ad v. 12, Corderius Cyrillo dedit, II, 510. Ex hoc insigni commentario non pauca suffuratus est Pseudo-theodorus. Cerne mihi in primis nonnulla quæ archaeologos rei ægyptiacæ studiosos movebunt, ac certe interpretem produnt Alexandrinum, Corder. II, 525 in v. 12. Ἢ ἀντὶ τοῦ· ἕως πότε ἀποκρύπτεις τὴν σαυτοῦ χεῖρα ἤτοι τὴν ἐνέργειαν, μὴ βουλόμενος αὐτοῖς δεῖξαι ὅσον ἰσχύει ἡ δεξιά σου; Ἐπεὶ ἐν εἰκόσι καὶ στύλαις οἱ βασιλεῖς καθεζόμενοι προτείνουσι τὴν δεξιὰν ὑπτιοῦντες ἐπὶ τα ἔμπροσθεν, ὡσανεὶ καταπαύοντες τοὺς πολεμίους. „Vel idem est ac si dicat: *Usquequo abscondis manum tuum,* sive efficaciam tuam, nolens ipsis ostendere quantum valeat dextera tua? Quoniam reges, qui in imaginibus et columnis continentur, resupini dexteram in anteriora protendunt, adversarios quodammodo silere jubentes.„ Corderium in nonnullis tam latine quam græce ob rei singularitatem emendare oportuit.

ητῆς πορνείας τοὺς τρόπους, ἵνα μὴ τὸν τοῖς φιλαμαρτήμοσι πρέποντα, καὶ ὀφειλόμενον ὄλεθρον ὑπομείνωμεν. Νοητὴν δὲ πορνείαν φαμὲν πᾶν εἶδος φαυλότητος καὶ ἀκαθαρσίας. — Καὶ γὰρ ὅσοι ἀφίστανταί σου καὶ μακρὰν γίνονται τῇ διαθέσει, οὐδὲν ἕτερον ἢ τὴν ἀπώλειαν ἐκδέχονται, ὅτι ἀποσχίζοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. Οὐδεὶς διΐσταται τοπικῶς τοῦ μὴ ἐν τόπῳ Θεοῦ· σχέσει δὲ τὸ ἄδικον καὶ πονηρὸν μακρὸν νοεῖται τοῦ δικαίου καὶ ἀγαθοῦ, ὅπερ ἀπόλλυσιν, ὡς καὶ σώζει τὸ ἐγγίζειν ἀρετῆς ἀναλήψει Θεῷ. Ταὐτὸν γὰρ τὸ μακρύνεσθαι τῷ ἁμαρτάνειν. Οὐκ εἶπεν· οἱ μακρύναντες· δυνατὸν γὰρ μετανοοῦντας σωθῆναι, μηκέτι μακρύνοντας ταύτῃ. Καὶ ὁ ποιῶν, ἀλλ' οὐχ ὁ ποιήσας δοῦλός ἐστι τῆς ἁμαρτίας.

v. 28. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Κυρίῳ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου, τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

Δι' αὐτῶν γὰρ τῶν πραγμάτων τὴν πεῖραν λαβών, οὐ χωριστὸς ἔσομαι τοῦ σεσωκότος Θεοῦ, καὶ τῇ εἰς αὐτὸν ἐλπίδι βεβαιωθήσομαι. Διὰ τοῦτον γὰρ τῆς ἐλπίδος ἐπανόδου τετύχηκα, καὶ τὰς σὰς θαυματουργίας ἐν τῇ Ἱερουσαλὴμ ἐξηγοῦμαι· αὐτὴν γὰρ ὠνόμασε θυγατέρα Σιών· ὥσπερ γὰρ υἱοὺς ἀνθρώπων τοὺς ἀνθρώπους καλεῖ, οὕτως θυγατέρα Σιὼν τὴν Σιὼν ὀνομάζει. Διώνυμος γὰρ ἡ πόλις· ἡ γὰρ αὐτὴ δὲ Σιὼν καὶ Ἱερουσαλὴμ ὑπὲρ τῆς θείας καλεῖται γραφῆς. — Πολλῶν πολλὰ περὶ ἀγαθοῦ φιλοσοφησάντων, συντόμως ὁ σοφὸς [λέγει] τὸ κολλᾶσθαι τῷ Θεῷ. Τοῦτο δὴ αἱ συναγωγοὶ ἀρεταὶ πρὸς τελειότητα. Πύλαι Σιών, ἧς ἡ θυγάτηρ ἡ κατὰ ταύτην γινομένη ἢ καὶ γεννηθεῖσα ψυχή.

v. 28. Vat. 5.

spirituali fornicatione coerceamus, ne peccatorum amatoribus interitum justa sententia erogandum sustineamus. Spiritalem autem fornicationem dicimus esse quodcumque genus nequitiæ et corruptelæ. Etenim quicumque a te recedunt, et longe fiunt consulto, nihil aliud quam interitum recipiunt, quia *recedentes a te peribunt*. Nemo quoad locum a Deo sine loco distat, sed habitu quod iniquum et malum est, longe recedere putatur a justo et bono, quod perditio est, sicut salus est appropinquare Deo virtutis adeptione. Idem est enim elongari et peccare. Non ait: *qui elongaverunt se*. Possunt enim pœnitentiam agentes salvari, sed ab illa minime se *elongantes*. Qui facit enim, non qui fecit, peccator est.

v. 28. ***Mihi autem adhærere Domino bonum est, ponere in Domino spem meam, ut annuntiem omnes laudes tuas in portis filiæ Sion.***

Per hæc enim adeptus negotiorum experientiam, separari non potero a Deo salutis largitore, ac mea in eum spe confirmabor. — Nam per eum spem consecutus sum revertendi, et enarrabo tua prodigia in Sion. Hanc enim vocavit filiam Sion: etenim sicut homines vocat filios hominum, ita Sionem vocat filiam Sionis. Duplex enim est nomen civitatis et eadem in sacra Scriptura dicitur Sion et Hierusalem. — Multi multa de bono quum philosophi disputaverint, breviter Sapiens ait: *Adhærere Deo*. Id ipsum vero sunt universæ virtutes quæ conducunt ad perfectionem. Sunt portæ Sion, cujus filia est anima juxta illam facta vel generata.

Psalmus LXXIII.

v. 1. Ἵνα τί ἀπώσω, ὁ Θεὸς, εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου. *Vat.* 660, 2.

Ἐπιπόνην ἔσχες τὴν κατὰ τῶν προβάτων τῶν σῶν ἀγανάκτησιν.

v. 5. Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν ὡς εἰς τὴν εἴσοδον ὑπεράνω.

Ἀπὸ τῶν Ἰωσήπου περὶ τῆς ἁλώσεως λεγομένων, καιομένου δὲ τοῦ ναοῦ καὶ τῶν περὶξ ἁπάντων, οἱ Ῥωμαῖοι κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν κατὰ τῆς ἀνατολικῆς πύλης ἄντικρυς, ἔθεσαν αὐτὰς αὐτόθι, καὶ τὸν Τῖτον μετὰ μεγιστῶν εὐφημιῶν ἀνέφηναν αὐτοκράτορα.

v. 7. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου εἰς τὴν γῆν, ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.

Ἀκύλας· Ἐνέπρησαν πάσας ἰσχυρὰς ἀπὸ τῆς γῆς. Σύμμαχος· Ἐνέπρησαν πάσας τὰς συναγωγὰς τοῦ Θεοῦ εἰς γῆν. Θεοδοτίων· Ἐνεπύρισαν πάντας καιροὺς ἰσχυροῦ.

v. 8. Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν ἡ συγγένεια αὐτῶν ἐπὶ τὸ αὐτό· Δεῦτε, καταπαύσωμεν τὰς ἑορτὰς Κυρίου ἀπὸ τῆς γῆς.

Εἰ δὲ καὶ μὴ λόγῳ, τῇ δὲ δυνάμει ταῦτα ἔλεγον. Ἐρεθιστικῶς δείκνυσιν, ὡς οὐ προέθεντο τοσοῦτον ἡμῖν, ὁπόσον σοι πολεμεῖν. Μετὰ πολλῆς ἐπελθόντες ἡμῖν τῆς συμφωνίας ἕνα σκοπὸν εἶχον τὸν ὑπὸ σοῦ δεδομένον καταλῦσαι νόμον. Διὰ γὰρ τῶν ἑορτῶν τὴν κατὰ νόμον πολιτείαν ἐδήλωσε. Ταῦτα δὲ, φησὶν, ἐτόλμων, μήτε τὰς ἐπὶ τῶν προγόνων ἡμῶν ὁρῶντες θαυματουργίας, μήτε ὑπὲρ προφητικῆς διελεγχόμενοι χάριτος· τούτων γὰρ ἁπάντων ἐξαίφνης κατέστησαν ἔρημοι. Πάλαι γὰρ καὶ μετὰ τὴν ἐπάνοδον ἔσχον προφήτας, τὸν Ἀγγαῖον,

Ps. LXXIII, v. 1. Vat. 2, 7. Mel. ἐπίπονον.
v. 5. Vat. 5, 12, 14, 16.

v. 1. *Ut quid, Deus, repulisti nos in finem? Iratus est furor tuus super oves pascuæ tuæ?*

Diu adversus oves asperam habebas indignationem.

v. 5. *Posuerunt signa sua signa, et non cognoverunt in exitu super summum.*

Legitur apud Josephum de excidio: quum conflagratum fuit templum, et cunctæ in circuitu ædes, Romani sua introducentes vexilla in sanctuarium, a facie portæ orientalis, ibidem ea posuerunt, ac Titum faustis et maximis clamoribus salutarunt imperatorem.

v. 7. *Incenderunt igni sanctuarium tuum in terra, polluerunt tabernaculum nominis tui.*

Aquila: *Incenderunt cunctas validas a terra.* — Symmachus: *Incenderunt omnes synagogas Dei in terra.* — Theodotion: *Incenderunt omnia tempora Potentis.*

v. 8. *Dixerunt in corde suo cogitationes eorum simul: Venite, quiescere faciamus dies festos Domini a terra.*

Nisi verbo, saltem opere talia dicebant. Indignantis more ostendit, non tantum nobis, quantum tibi eos esse infensos: cum multa in nos concordia irruentes, unum sibi scopum habent, legem a te datam dissolvere. Per *dies festos* enim, vitam ex lege peractam declaravit. Hæc vero ausi sunt, ait, neque considerantes prodigia sub majoribus nostris patrata, nec prophetica redarguti gratia: harum enim omnium rerum prorsus se jejunos habuere. Namque olim, vel post reditum a Babylone, pro-

v. 7. Vat. 12. Cf. et emenda Field. II, 217.
v. 8. Vat. 12, 14. Alias αἱ συγγένειαι.

τὸν Ζαχαρίαν, οἳ προέλεγον τὰ ἐσόμενα, καὶ τῶν πολεμίων τὰς ἐπιβουλὰς καταδήλους ἐποίουν.

v. 11. Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;

Χεὶρ καὶ δεξιὰ τοῦ Θεοῦ, ὁ Μονογενής. — Χριστός ἐστι δεξιὰ τοῦ Πατρὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ὅθεν ἐλθὼν ἐξηγήσατο περὶ τοῦ Θεοῦ. Εἰ διαφέρει ἡ χεὶρ καὶ ἡ δεξιὰ τοῦ Θεοῦ, ἐφίστημι, μήποτε ἡ μὲν χεὶρ[τὰ] κατὰ τῶν ἐχθρῶν τοῦ λαοῦ ποιεῖ· ἡ δὲ δεξιὰ τὰ ὑπὲρ τοῦ λαοῦ ἀγαθὰ, οἷον ἡ χείρ, ὅτε θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν Αἰγυπτίοις ὑπὲρ Ἑβραίων ἀπέστειλεν ὁ Θεός. — Ἵνα τί ἀπεκρύβης, φησὶ πρὸς τὸν Πατέρα, τὸν Υἱόν σου ἐν τῷ κόλπῳ σου; Χριστός ἐστιν ἡ δεξιὰ τοῦ Πατρός· ἐκ μεταφορᾶς, [κατὰ] τὸ τοὺς παρακαλουμένους μὲν, μὴ προσιεμένους δὲ τὴν παράκλησιν· πρότερον ἐπὶ τὸν κόλπον τὰς χεῖρας ἔχων ἐπὶ τῷ ἐπιλαβέσθαι, πῶς ἐθέλει αὐτὸς τοὺς παρακαλοῦντας αὐτὰς ἀποστρέφειν εἰς τὸ ὀπίσω;

v. 12. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Ἐντεῦθεν λαβόντες τινὲς ἀνεφήναντο τὰ Ἱεροσόλυμα ὀμφαλὸν εἶναι τῆς γῆς. — Ὁ δὲ Υἱός σου, ὁ Χριστὸς, φησὶ, προώριστο πρὸ αἰώνων τῆς φύσεως βασιλεὺς διὰ σαρκώσεως τῆς κατὰ ἄνθρωπον.

v. 13, 14. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν. Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Σὺ συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος.

Διαγράφει τῷ λόγῳ τίνι τρόπῳ τὴν παλαιὰν αὐτῶν σωτηρίαν εἰργάσατο· καὶ πρῶτον μὲν τὸ παγῆναι ὡσεὶ τεῖχος τῆς θαλάσσης τὰ ὕδατα, ὅτε ἐξ Αἰγύπτου ἐξῄεσαν·

phetas habuerunt Aggæum, Zachariam, qui futura præsagiebant, ac perspicuas inimicorum faciebant insidias.

v. 11. *Ut quid avertis manum tuam et dexteram tuam de medio sinu tuo in finem?*

Dei manus et dextera Unigenitus est. Christus est dextera Patris, ut qui est in sinu Patris, unde exiens enarravit quæ Dei erant. Utrum differat manus a dextera, considero, ne forte manus agat contra inimicos populi, dextera autem præstet bona super populum; quemadmodum manus erat, quando immisit Deus in Aegyptios iram et furorem et calamitatem propter Hebræos. — *Ut quid abscondisti,* inquit ad Patrem, Filium tuum in sinu tuo? Christus, dextera Patris. Utitur metaphora eorum, qui invocantur quidem in auxilium, sed suppetias porrigere nolunt. Quem vero primum ait manus habuisse in sinu ad succurrendum, quomodo vult ab invocantibus eas removere retrorsum?

v. 12. *Deus autem rex noster ante sæculum, operatus est salutem in medio terræ.*

Inde nonnulli profecti disseruerunt Hierusalem consistere in umbilico terræ. Filius autem tuus Christus, inquit, præfixus est ante sæcula rex per naturam, secundum suam humanæ carnis assumptionem.

v. 13. *Tu dominatus es in virtute tua mare; tu contrivisti capita draconum in aqua; tu confregisti capita draconis.*

Describit hoc sermone quomodo olim eorum salutem operatus sit: ac primum quod constrinxit tanquam murum maris æquora, quando ab Aegypto exierunt,

v. 11. Vat. 5, 6, 12, 14. Cf. BB. Joan. 1, 18. Ab initio pura est formula Melitonis *Anal.* II, 7.

v. 12. Vat. 5, 12.

v. 13. Vat. 5. Etiam in h. vers. apud Theodorum Heracl. fulget quasi purpura inter sordes, commentarius solito amplior, quem facile Origeni restituerem, sed habet Corder. II, 526, 527.

καὶ τοῦτό ἐστι τό· Ἐκραταίωσας τὴν θάλασσαν. Δεύτερον δὲ τὸ συντριβῆναι τῶν Αἰγυπτίων ἐπὶ τῶν ὑδάτων κεφαλὴν, οὓς καὶ δράκοντας διὰ τὸ πονηρὸν τῆς γνώμης ὀνομάζει· εἶτα μετὰ ταῦτα, καὶ τοῦ ἐξάρχοντος αὐτῶν βασιλέως, ὃν δράκοντα προηγόρευσεν. — Κεφαλαὶ τῶν δρακόντων εἰσὶν τὰ πρῶτα κατὰ τὴν διάνοιαν συνιστάμενα φαῦλα νοήματα. Συνέτριψαν δὲ αὐτὰ δι' ὧν ἔλεγεν· Ἐῤῥήθη τοῖς ἀρχαίοις· Οὐ μοιχεύσετε, ἐγὼ δε λέγω ὑμῖν· ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτήν. Καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

v. 16. Σὺ κατηρτίσω ἥλιον καὶ [φαῦσιν]. Φαῦσιν νῦν τὴν σελήνην ὠνόμασε.

v. 18. Μνήσθητι ταύτης τῆς κτίσεώς σου. Ἐχθρὸς ὠνείδισε τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

Ἐπικαλεσάμενος διὰ τῆς κτίσεως εἰς οἶκτον τοῦ λαοῦ τὸν Θεὸν, πάλιν ἑτέρῳ προσώπῳ αὐτὸν ἐπικαλεῖται· οὗτος δέ ἐστιν ὁ τρόπος τοῦ μεγαλοφρονεῖν τὸν ἐχθρόν. — Μνήσθητι ταύτης τῆς κτίσεώς σου· εἰς ἐπικουρίαν προσκαλεῖται τὸν Θεὸν διὰ τῆς κτίσεως, καί φησι· Μνήσθητι ταύτης· εἰ διὰ τοὺς ἀνθρώπους, φησί, τὴν κτίσιν πεποίηκας, παράσχου τὴν ἐπικουρίαν αὐτοῖς δι' οὓς ἡ κτίσις γεγένηται. — Ἐπειδὴ οὐχ ἡμεῖς ἠδικήμεθα, ἀλλὰ σύ· σὺ γὰρ, ὡς Θεὸς, τῶν σῶν πτωχῶν μὴ ἀποστραφῇς τὴν ἱκεσίαν· σὲ γὰρ ὠνείδισεν ὁ ἐχθρὸς, καὶ λαὸς ἄφρων παρώξυνε· τούτου χάριν ἀνάστηθι. Νῦν μὲν ἄφρονα τὸν διάβολον ὀνομάζει· πάλιν δὲ διὰ τὸ αὐτὸν ὀνειδίζεσθαι, εἰς οἶκτον καλεῖ τὸν Θεόν. Μνήσθητι τῶν ἐπαγγελιῶν σου, φησίν, ὧν ἐπηγγείλω τῷ Ἀβραὰμ δοῦναι τῷ σπέρματι αὐτοῦ, γῆν ῥέουσαν γάλα καὶ μέλι.

v. 19. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι; τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

et hoc est *dominatus es mare;* dein quod contriverit sub aquis caput Ægyptiorum, quos etiam dracones vocat, improba propter eorum consilia: tum etiam contrivit caput regis qui imperabat eis, quem draconem nuncupavit. — Capita draconum sunt primæ cogitationes pravæ, quæ menti oboriuntur. Contrivit autem illas per hæc verba: « Dictum est antiquis: Non mœchaberis. Ego autem vobis dico: Si quis viderit mulierem in concupiscentiam, jam mœchatus est eam in corde suo ». Ac similiter de cæteris.

v. 16. *Tu formasti solem et lunam.* Nunc lunam nominat splendorem.

v. 18. *Memor esto hujus creaturæ tuæ: inimicus improperavit Domino, populus insipiens incitavit nomen tuum.*

Postquam hoc verbo *creationis* provocavit Deum ad miserendum populi, rursus altera usus persona, eum deprecatur. Talis autem est imago superbientis inimici. — *Memor esto hujus tuæ creationis.* In auxilium vocat Deum ob creationem, et ait: *Memento hujus.* Si propter homines, ait, feceris creationem, præsta auxilium eis pro quibus creatura facta est. — Quando quidem non nos injusta patimur, sed tu. Tu enim, qui Deus es, supplices pauperum tuorum preces ne avertas. Namque tibi insultat inimicus, et te populus ineptus exasperat. Idcirco exsurge. — Nunc vero insipientem vocat Diabolum, et iterum eo quod *improperavit,* incitat Deum in misericordiam; memento, inquit, eorum quæ promisisti Abraham, dandi illius posteris terram fluentem lac et mel.

v. 19. *Ne tradas bestiis animas confitentes tibi; animas pauperum tuorum ne obliviscaris in finem.*

v. 16. Vat. 5. ἥλιον καὶ φαῦσιν leg. fort. Orig.
v. 17. Vat. 2, 5, 42.

v. 18. Vat. 3, 7. Cf. BB.
v. 19. Vat. 12.

Ὅρα πάλιν οἰκτιρμοῦ τρόπον· διὰ τὸ τοὺς ἐχθροὺς παροξύναι τὸ ὄνομα, ἐπανέτεινε τὸν τρόπον τῶν οἰκτιρμῶν· καὶ θηρία διὰ τὴν ὠμότητα τοὺς ἐχθροὺς ἀποκαλέσας, καὶ ἔχοντάς τι τοὺς ἡμαρτηκότας συγγνώμης διὰ τῆς ἐξομολογήσεως. Τοῦτο δὲ εὔχεται μὴ ὁλοτρόπως ἀπολέσθαι τὴν Ἱερουσαλὴμ, ὃ καὶ γέγονεν· πολλοὶ γὰρ τῶν σταυρωσάντων ἐπίστευσαν καὶ ἐσώθησαν.

Vide rursus modum excitandi misericordiam: propterea quod inimici irritant nomen, protendit argumentum miserationum, etiam bestias inimicos nuncupans ob crudelitatem, et quod peccatores quid veniæ habeant in peccatorum confessione. In hoc vero postulat ne Hierusalem universa ruina cadat, uti evenit. Multi enim ex his qui crucifixerunt, crediderunt et salvi facti sunt.

v. 22. Ἀνάστα, ὁ Θεὸς, δίκασον δίκην σου.

22. *Exsurge, Deus, judica causam tuam.*

Ἀνάστηθι, καὶ δίκασον τὴν δίκην σου. Ἡ ὑπερηφανία τῶν δαιμόνων καὶ τῶν αἱρετικῶν ἐγνωσμένη σοί ἐστιν.

Exsurge et judica causam tuam. Non tibi ignota est arrogantia daemonum et haereticorum.

v. 22. Vat. 3, 6.

Psalmus LXXIV.

v. 1. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, ψαλμὸς τῷ Ἀσὰφ ᾠδῆς. *Vat.* 670, 2.

v. 1. *In finem, ne corrumpas, psalmus cantici Asaph.*

Ὁ δὲ Σύμμαχος· Ἐπινίκιος περὶ ἀφθαρσίας ψαλμὸς ᾠδῆς.

Symmachus vero: *Triumphalis, de immortalitate, psalmus cantici.*

Εἴρηται καὶ οὗτος ὁ ψαλμὸς ἐκ προσώπου τῶν ἐν Βαβυλῶνι δορυαλώτων, ὑμνεῖν τὸν Θεὸν ὑπισχνουμένων, ὅταν τῆς θείας χάριτος ἀπολαύσωσι. Κατὰ δέ τινας, εὐχαριστήριός ἐστιν, ὡς ἀπὸ Ἐζεχίου ὑπὲρ τῆς τῶν Ἀσσυρίων ἀναιρέσεως. Ὑψηλότερος δὲ περὶ ἀφθαρσίας ὁ λόγος, τῆς τοῖς δικαίοις ἀποκειμένης, οἷς καὶ τὸ τῆς νίκης ἀποτεθησαύρισται βραβεῖα. Διὸ καὶ ἐπινίκιος ἐπιγέγραπται, καὶ εἰς τὸ τέλος ἡμᾶς ἀναπέμπει, περὶ οὗ φησιν ὁ ἀπόστολος· Εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί· εἰς ὃ οἱ ἐνταῦθα τὸν καλὸν ἀγῶνα νενικηκότες, τῆς ἀφθάρτου ζωῆς τεύξονται, ἢ περὶ [τοῦ] τὸν ἀρξάμενον ἔργου ἀγαθοῦ ἐπιτελέσαι αὐτὸ δεῖ[ν]. Διὰ τοῦτο, εἰς τὸ τέλος, μὴ διαφθείρῃς, εἴρηται, ἵνα μέχρι τέ-

Dictatus etiam est hic psalmus ex persona Judæorum in Babylone sub hasta emptorum, Deum hymnis cantare voventium, quando fuerint divinam gratiam consecuti. Juxta nonnullos, eucharisticus, quasi ab ore Ezechiæ de Assyriorum internecione. — Sublimior autem ratio est de illa immortalitate, quæ justis reconditur, quibus quoque victoriæ praemia ceu in thesauris reposita sunt. Idcirco *triumphalis* inscribitur in epigraphe, et *ad finem* nos remittit, de quo dicit Apostolus: « Deinde finis, quum tradiderit regnum Deo et Patri. » Nempe quando illi qui in nobili victores certamine, immarcescibilem vitam consequentur, vel uti oportet, incæptum boni operis finem con-

Ps. LXXIV. Vat. 15. 1 Cor. XV, 24. Field. II, 219. Verba plurima corrasit Eusebius, pauciora anonymus qui brevissima scholia perstrinxit Corderio. Quid si Origenes ipse plura recoperit a Senioribus. Sed diligenter adverte in fine quæ alibi non facile reperies, de uno cantore cui plures succedunt in eodem psalmo, tum etiam ea quæ ὑπακοὴν innuunt.

λους φεύγοντες τὴν φθορὰν, εἴτουν τὴν ἁμαρτίαν, καὶ ἐν ἀφθαρσίᾳ τὸν Κύριον ἀγαπῶντες, τουτέστιν ἐν ἀρετῇ, καὶ μὴ διαφθείραντες τοὺς εὐσεβεῖς λογισμοὺς, τὴν ἀφθαρσίαν κληρονομήσωμεν κατὰ τὴν δικαίαν τοῦ Θεοῦ κρίσιν, ἧς πρόῤῥησιν ἔχει ὁ ψαλμός· ὁ γὰρ εἰς τὸ τέλος ὁρῶν καὶ ποιῶν τὸ τῆς ἀφθαρσίας, κέκραγε τό· Μὴ διαφθείρῃς. Ὀργάνῳ δὲ καὶ φωνῇ ὁ ψαλμὸς ἀποτελεῖται· διὸ ψαλμὸς ᾠδῆς ἐπιγέγραπται, δηλωτικὸς ὢν τοῦ δεῖν ἡμᾶς καὶ ὀργάνῳ διὰ τῶν σωματικῶν κινήσεων ὑμνεῖν τὸν Θεὸν, καὶ φωνῇ νοητῇ, διὰ τοῦ τὸν νοῦν ἀνακεῖσθαι τῷ δημιουργῷ. Λέγεται δὲ κατὰ μὲν τὴν ἀρχὴν ὑπὸ πλήθους, ἑξῆς δὲ ὑπὸ ἑνός. Νόει νῦν τὸ μὲν πλῆθος τὴν ἐκκλησίαν εἶναι, τὴν ἀπὸ ἐθνῶν κεκλημένην καὶ ὑπακούσασαν τῷ καλέσαντι· μᾶλλον δὲ τὸ τῶν ἀποστόλων πρόσωπον, παραινοῦν τοῖς ἀνθρώποις σωτηρίας ἔχεσθαι, [διὰ τὸ] ὑποτιθέμενον αὐτοῖς τὸ Θεῖον ἐκεῖνο καὶ φοβηρὸν δικαστήριον. Τὸν δὲ ἕνα τὸν Κύριον εὐχαριστοῦντα ἐπὶ τῇ ἐκκλησίᾳ.

v. 2. Ἐξομολογησόμεθά σοι, ὁ Θεὸς, ἐξομολογησόμεθα καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.

Εὐχαριστήσομέν σοι σφόδρα ὑπὲρ τῶν γεγενημένων· ὁ γὰρ διπλασιασμὸς τὴν ἐπίτασιν τῆς εὐχαριστίας δείκνυσι. Καὶ τὸ σὸν ὄνομα, τὸ ὑπὸ τῶν Ἀσσυρίων ὀνειδισθὲν, ἐπικαλεσόμεθα. Ἢ ἀπὸ τοῦ ὀνόματος χριστιανοὺς καλέσομεν ἑαυτοὺς, καὶ τούτῳ λαμπρυνθησόμεθα. Τάχα δὲ οἱ μὴ τέλειοι ἐξομολογοῦνται μὲν περὶ τῶν ὑπαρξάντων αὐτοῖς ἀγαθῶν, ἐπικαλοῦνται δὲ ὑπὲρ τοῦ ἄλλα λαβεῖν· οἱ δὲ τέλειοι ὑπὲρ τῆς φυλακῆς ὧν ἔλαβον. Ἢ ἐπεὶ διττὸς ὁ τῆς ἐξομολογήσεως τρόπος, δὶς εἴρηται τὸ ἐξομολο-

summabunt. Idcirco dictum est *in finem, ne corrumpas*, ut usque *in finem* a corruptione fugientes, nimirum a peccato, et in integritate illibata diligentes Dominum, id est in virtute, neque temerantes pios cogitatus, incorruptibilitatem consequamur jure hæreditatis, juxta æquum Dei judicium, cujus prooemium psalmus habet. Qui enim respicit *in finem*, et peragit opera intemeratæ virtutis, clamavit hoc: *ne corrumpas!* Instrumento autem et voce psalmus conficitur, ideo *psalmus cantici* inscribitur; quo monemur, oportere nos et cum organo per corporeos motus celebrare Deum, et cum voce spirituali per mentem subjectam Creatori. Pronunciatur autem in principio a multitudine, postea vero ab uno. Scito nunc primum multitudinem esse Ecclesiam, a gentibus electam et respondentem vocanti eam; vel potius apostolorum personam esse, homines exhortantium ad salutem, ob ipsis reservatum divinum tribunal ac formidandum. Deinde scito unum esse Dominum gratias pro Ecclesia agentem.

v. 2. *Confitebimur tibi Deus, confitebimur tibi, et invocabimus nomen tuum.*

Gratias tibi vehementer agemus pro iis quæ facta fuere: geminatio enim intentiorem gratitudinem ostendit. Ac nomen tuum, ab Assyriis exprobatum, invocabimus. Vel ex nomine illo nosmet appellabimus Christianos, quo cognomine nobilitabimur. Fortasse autem qui nondum perfecti sunt, confitentur quidem de bonis quæ ipsis contigerunt; invocant autem, ut alia recipiant; perfecti vero pro custodiendis bonis quæ receperunt. Vel quoniam gemina est confessio-

v. 2. Vat. 15. Multa priscam ætatem sapiunt, uti affectatum quasi novum nomen Christianorum, tum discrimen inter perfectos et minus perfectos, tum duplex confessio, una peccatorum, altera gratiarum, et utraque spontanea et publica sit.

γεῖσθαι, τοῦ μὲν πρώτου δηλοῦντος τὴν ἐφ' ἁμαρτίαις ἐξομολόγησιν· τοῦ δὲ δευτέρου τὴν ἐφ' οἷς πεπόνθασιν ἀγαθοῖς εὐχαριστίαν· ἐπεὶ δὲ οὐχ οἷόν τέ ἐστιν οὕτως ἐπικαλέσασθαι τὸ ὄνομα Κυρίου, ὥστε τυχεῖν τοῦ· Ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται, ἐὰν μὴ πρότερόν τις ἀποταξάμενος τῇ ἁμαρτίᾳ ἐξομολογήσηται περὶ τῶν προημαρτημένων, διὰ τοῦτο ἡ ἐκκλησία ἐπιμένει τῇ ἐξομολογήσει· εἴπερ οὖν καὶ ἡμεῖς θέλομεν ἐν τοῖς ἐπικαλουμένοις εὑρεθῆναι καὶ σωθῆναι μετ' αὐτῶν, κατήγοροι τῆς ἑαυτῶν ἁμαρτίας γενώμεθα, τέλεον καταλιπόντες αὐτήν.

v. 3. Διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ὅταν λάβω καιρὸν, ἐγὼ εὐθύτητας κρινῶ.

Ἑνικῶς τοῦτο εἰπὼν ὡς ἑκάστου τοῦτο λέγοντος, ὅπερ ἐν τῇ κοινῇ πάντων γίνεται φωνῇ· τὸ δ' ὅταν λάβω καιρὸν, τουτέστιν ὅταν ἐπανέλθωμεν ἐκ τῆς αἰχμαλωσίας, διὰ τὸ μὴ ἐξεῖναι ᾄδειν ἐπὶ τῆς ἀλλοτρίας· διηγεῖσθαι δὲ τοῦ Θεοῦ τὰ θαυμάσια ὑπισχνεῖται καὶ ὁ ἀποστολικὸς χορὸς, τῶν διωκόντων ἀπαλλαγείς. Τάχα δὲ ὁ Σωτὴρ λέγει ταῦτα πρὸς τὸν Πατέρα περὶ τῆς ἐκκλησίας, ὅτι οὐδέπω ταύτας χωροῦσι τὰς διηγήσεις τῶν μυστηρίων σου, ἀλλὰ καιροῦ δέονται τῆς τελείας ἐπιστροφῆς. Εἰ θέλοι οὖν καὶ ἡμῶν ἕκαστος ἀκοῦσαι τοῦ Ἰησοῦ διηγουμένου τὰ θαυμάσια τοῦ Πατρὸς, δότω αὐτῷ καιρόν· δίδωσι δὲ καιρὸν ὁ βιοῦς καλῶς. Τὸ μὲν οὖν διηγήσομαι, ἀνθρώπινον, τὸ δὲ ἑξῆς Θεοῦ φωναὶ, ὥσπερ νοοῦμεν, τὸ ἔθος ἐχούσης τῆς γραφῆς τὰς μεταβάσεις ποιεῖσθαι

nis enuntiatio, bis dicitur *confiteri*, quorum prius significat confessionem pro peccatis, posterius autem gratiarum actiones pro bonis quæ experti sunt. Quum vero nemo possit nomen Domini tam efficaciter invocare, ut fiat illud: « Quicumque invocaverit nomen Domini, salvus erit », nisi prius peccare renuntians, confessus fuerit pro admissis peccatis, idcirco Ecclesia perseverat in confessione. Si ergo nos quoque volumus inter vocatos reperiri et salvari cum illis, fiamus nosmet peccati nostri accusatores, id perfecte relinquentes.

v. 3. *Enarrabo omnia mirabilia tua; cum accepero tempus, ego rectitudines judicabo.*

Singulariter id loquitur, unoquoque idem proferente, quod communi omnium voce prædicatur. Illud vero *cum accepero tempus*, id est, quando revertemur ex captivitate, quippe cantare non expedit in terra aliena. Fore autem ut enarret portenta Dei, pollicetur quoque chorus apostolicus, a persecutoribus ereptus. Quæ fortasse Salvator loquitur ad Patrem de Ecclesia: [Ego narrabo], quoniam homines nondum capiunt enarrationes mysteriorum tuorum, sed indigent opportunitate perfectæ conversionis. Si ergo unusquisque nostrum velit audire Jesum enarrantem Patris mirabilia, tempus illi cedat; tempus vero ille dat qui bene vivit. Hoc ergo *enarrabo*, hominis est; quod vero sequitur, Dei sunt voces,

v. 3. Vat. 15. Iterum more vetustæ arcani disciplinæ recurrit τελείωσις et τῶν μυστηρίων varia pro temporibus declaratio. Sed ecce haud sine Ariana fraude transtulit sibi Eusebius quædam verba; ubi apud Origenem recte et plane asserit Unigenitus tum suas ἐνεργείας, tum Patris sui θεολογίαν, Cæsariensis dubium audacter subdit: Ὅρα τοίνυν εἰ μὴ διὰ τούτων ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος τὰς οἰκείας ἐνεργείας διδάσκει, τὴν τοῦ Πατρὸς διεξιὼν θεολογίαν, aut vidius apud Corderum II, 552 idem interrogans: μήποτε τοίνυν. κτλ... Canonem vero biblicum de mutatione personarum in continua serie, mirum est quam fuse et arroganter effutiat ibid. p. 552 Theodorus Mopsuestenus, haud semel Origenis metaphrastes, quantumvis simul et acerrimus oppugnator. Tandem Symmachi locum apud Fieldium Aquilæ fere tribuitur, II, 219. Α. ὅταν λάβω συνταγήν. Σ. ὅταν λάβω τὴν συναγωγήν, ac multa in hoc loco confusio notatur.

τῶν προσώπων, ἄνευ τοῦ ἐπισημαίνειν. Ὁ Μονογενὴς εἰσάγεται τὰς οἰκείας ἐνεργείας διδάσκων, καὶ τὴν τοῦ Πατρὸς θεολογίαν διεξιών. Ἀντὶ δὲ τοῦ ὅτε λάβω καιρὸν, συνταγὴν ὁ Σύμμαχος εἶπε, τοῦ λόγου δηλοῦντος ὡς ἐπειδὰν ὁ συνταχθείς μοι παρὰ σοῦ τῆς ἐπιδημίας καιρὸς ἐπιστῇ, πάντα σου, Πάτερ, τὰ θαυμάσια τοῖς ἐξ ἐθνῶν διηγήσομαι· δικαιοσύνης γὰρ ἔργον τὸ μὴ μόνον Ἰουδαίους προσίεσθαι, ἀλλ᾽ ἐξ ἁπάντων ἐθνῶν ποιεῖσθαι τῶν σωζομένων τὴν ἐκλογὴν, διὸ ἐπάγει· Ἐγὼ εὐθύτητας κρινῶ.

ut opinamur, quum sit mos Scripturæ faciendi mutationem personarum, quin de hoc moneatur. Unigenitus introducitur, tum proprias operationes edocens, tum Patris theologiam enarrans. — Pro lectione: *cum accepero tempus,* Symmachus *cum accepero ordinationem* dixit, utique ac si id declaretur, scilicet quum constitutum mihi a te tempus incolatus advenerit, omnia prodigia tua, Pater, gentibus enarrabo. Justitiæ enim opera est, ut non solum Judæi adducantur, sed ex omnibus gentibus condatur fidelium salutem adeptorum Ecclesia. Unde pergit; *Ego rectos judicabo.*

Αὕτη τοῦ σωτῆρος ἡ φωνὴ, δικαίως κρίνειν ἀπαγγελλομένου κατὰ τὸν καιρὸν τοῖς ἀδικοῦσι καὶ τοῖς ἀδικουμένοις· μόνος γὰρ αὐτὸς εὐθύτητας κρινεῖ· κατὰ δὲ τὴν ἱστορίαν, ἐγὼ, φησὶν, ὑμῖν δικάσω καὶ Βαβυλωνίοις καὶ Ἀσσυρίοις.

Hæc vox est Salvatoris promittentis se juste judicaturum esse in tempore, tam eos qui inique judicant, quam eos qui injuste judicantur. Solus enim ipse est qui rectitudines judicabit. Secundum autem historiam: Ego, inquit, faciam judicium vobis ex Babyloniis et Assyriis.

v. 4. Ἐτάκη ἡ γῆ, καὶ πάντες οἱ κατοικοῦντες αὐτήν.

Ἀλλὰ μαρτυρησάτω καὶ ἡμῖν Ἰησοῦς, ὅτι ἡ εἰκὼν τοῦ χοϊκοῦ καὶ ἡ ἐν τῷ θνητῷ ἡμῶν σώματι βασιλεύουσα ἁμαρτία, καὶ πᾶν τὸ γήϊνον, καὶ ἡ περὶ τὰ γήϊνα ἐνέργεια, μετὰ τῶν ᾠκειωμένων τοῖς γηΐνοις ἀντικειμένων δυνάμεων, οὐ μόνον ἀπετέθη, ἀλλὰ καὶ οἱονεὶ ἐξηφανίσθη τέλεον. Ἐὰν γὰρ τῷ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατώσωμεν, ὡς πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ περιφέρειν ἡμᾶς, ἐρεῖ περὶ τῆς ἐν ἡμῖν γῆς καὶ τῶν γηΐνων τὸ ἐτάκη ἡ γῆ. Καὶ ἐν τῇ συντελείᾳ δὴ ἐρχομένης τῆς κρίσεως, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, καὶ οἱ ἐν τῇ γῇ ἀποθανοῦνται.

v. 4. *Liquefacta est terra, et omnes inhabitantes in ea.*

Sed nobis quoque testimonium præstet Jesus, futurum esse ut imago terreni hominis et peccatum quod in mortali corpore nostro imperat, et quodcumque terrenum est, et quæ de terrenis operatio est, cum inhabitantibus inter terrenos adversariis potestatibus, non solum amoveantur, sed quodammodo evanescant prorsus. Si enim spiritu corporis actiones mortificamus, ita ut semper nobiscum mortem Jesu circumferamus, de terra nostra et de terrenis nostris dicet: *Liquefacta est terra.* Et sane in consummatione, imminente judicio, cœlum et terra transibunt, et qui in terra sunt, morientur.

v. 4. Vat. 15. cf. 1 Cor. xv, 69. ii. Cor. iv, 10. Luc. xxi, 33. Nota in fine Origenem cum Patribus latinis consentire, de moritura ultima hominum generatione, rarissimum sane inter Orientales hac de re testimonium. Cf. A. Battandier, *Revue Cath.* Jullet, 1881.

v. 5, 6. Εἶπα τοῖς παρανομοῦσι μὴ παρανομεῖν, καὶ τοῖς ἁμαρτάνουσι· Μὴ ὑψοῦτε κέρας. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.

Πλὴν ἀλλὰ καὶ τοῖς καθ' ὅλης τῆς οἰκουμένης ἔθνεσι διὰ τῶν ἀποστόλων ἐμαρτύρατο μὴ παρανομεῖν, μηδὲ λαλεῖν ἀδικίαν κατὰ τοῦ Θεοῦ. Παρανομοῦσι γὰρ οἱ ἀπὸ τοῦ λαοῦ, οἵτινες ἀκούοντες τῶν νόμων, οὐκ ἐτήρουν αὐτούς.

v. 8. Ὅτι ὁ Θεὸς κριτής ἐστι· τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ.

Ὃν θέλει δηλαδὴ κατὰ τὴν ἀξίαν τῶν βεβιωμένων ἑκάστῳ. Ἢ ταπεινοῖ μὲν τὸν ἐκ περιτομῆς λαὸν, ὑψοῖ δὲ τὸν ἀπὸ τῶν ἐθνῶν, κατὰ τὰ εἰρημένα ἐν ταῖς ἀραῖς· Ὅτι ὁ προσήλυτος ὅς ἐστιν ἐν σοὶ, ἀναμνήσεται ἐπὶ σὲ ἄνω, ἄνω· σὺ δὲ καταβήσῃ κάτω, κάτω. — Καὶ ἄλλως· τοῦτον ταπεινοῖ, τὸ φρόνημα τῆς σαρκὸς, καὶ τοῦτον ὑψοῖ, τὴν ψυχὴν καὶ τὸ πνεῦμα. Καὶ μέντοι αὐτὸς καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ. Καὶ ταπεινοῖ μὲν ἀσεβεῖς, ὑψοῖ δέ τοὺς ταπεινοὺς τῇ καρδίᾳ.

v. 9. Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος.

Κέρασμα τὸν οὐρανὸν ὀνομάζει.

v. 10. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω.

Κλάσματα λέγει τὴν φθοράν.

v. 5, 6, 8. Vat. 15. Dan. II, 21.
v. 8. Vat. 15.

v. 5, 6. *Dixi peccatoribus: Nolite inique agere, et delinquentibus: Nolite exaltare cornu, nolite loqui adversus Deum iniquitatem.*

Cæterum alia gentibus in toto orbe sparsis testimonia per Apostolos præbuit, non prævaricari legem, neque loqui injustitiam adversus Deum. Nam prævaricantur in populo quicumque leges audientes, eas non custodiunt.

v. 8. *Quoniam Deus judex est, hunc humiliat, et hunc exaltat.*

Quem videlicet mavult, juxta merita vitæ a singulis peractæ. Vel humiliat quidem circumcisionis plebem, exaltat vero populum gentium, secundum ea quæ in [Deuteronomii] anathematibus dicta sunt, nempe: « Proselytus qui in te est, memorabitur super te supra, supra; tu vero descendes infra, infra. » Et aliter: *hunc humiliat,* carnis consilium, *et hunc exaltat,* animam et spiritum. Interea illis constituit imperatores et destituit, et humiliat impios, exaltat vero humiles corde.

v. 9. *Quia calix in manu Domini, vini meri, plenus mixto.*

Mixtum vocat cœlum.

v. 10. *Et omnia cornua peccatorum confringam.*

Confracta cornua ait interitum.

v. 9. 10 Vat. 5.

Psalmus LXXV.

v. 3. Καὶ ἐγεννήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών. *Vat.* 670, 2.

Ἀλλ' εἰ μὲν ὁ παρὰ Ἰουδαίοις τιμώμενος τόπος ἀπόρθητος καὶ ἀπολέμητος ἐπεφύλακτο, λόγον ἂν εἶχε συγχωρεῖν Ἰουδαίοις αὐ-

v. 3. *Et factus est in pace locus ejus, et habitatio ejus in Sion.*

Verum si ille apud Judæos locus honoratus, inexpugnabilis et bellicis insultibus immunis servatus fuisset, lice-

Ps. LXXV. v. 3. Vat. 15. Hebr. VII, 22. Phil. IV, 7.

τὸν εἶναι νομίζειν τὸν ὑπὸ τῶν γραφῶν δηλούμενον. Εἰ δὲ οὗτος μὲν ἐκ βάθρων ἤρται ἁλοὺς πολλάκις ὑπὸ πολεμίων, ἐν εἰρήνῃ δὲ λέγεται ὁ τόπος τοῦ Θεοῦ, οὐκ ἂν δύναιτο ἀληθῶς λογίζεσθαι τόπος εἶναι Θεοῦ, ὁ πολλάκις ὑπὸ πολεμίων ἁλούς· διὸ οὐδ' εἴρηκεν ὁ προφήτης· Ἐν Σαλὴμ γέγονεν ὁ τόπος αὐτοῦ, ὡς ἂν μέν τις Ἰουδαϊκῶς νοήσῃ τὰ Ἱεροσόλυμα· ἀλλ' ἀντὶ ταύτης, τὴν διάνοιαν τοῦ πράγματος παρέστησεν, ἀντὶ τοῦ Σαλὴμ εἰπὼν ἐν εἰρήνῃ. Εἰ μὲν οὖν καὶ ἐπὶ γῆς εὑρίσκοιντο ψυχαὶ ἐν εὐσταθίᾳ καὶ ἀταραξίᾳ καὶ γαλήνῃ διάγουσαι, εἰκότως ἂν λέχθειεν καὶ αὐταὶ τόπος Θεοῦ, ὡς αἱ χωρητικαὶ οὖσαι θείου Πνεύματος. Εἰ δὲ σπανίως εὑρίσκοιντο ἐπὶ γῆς τοιοῦτοι, ἐν δὲ τῇ κατ' οὐράνιον χρηματίζουσι τοῦ Θεοῦ πόλεις αἱ τῶν ἁγίων ψυχαί, ἔνθεν ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, δῆλον ὅτι εἰρήνης ἔσται τόπος ἡ ἄνω Ἱερουσαλὴμ ὡς ἐλευθέρα, ὅρασις ἀληθῶς οὖσα εἰρήνης· ἀλλὰ γὰρ παντὶ τρόπῳ καὶ ἡμῖν ἀποδιωκτέον τὴν τῶν παθῶν ταραχήν, ἵν' εἰρήνην τὴν ὑπερέχουσαν πάντα νοῦν ἔχοντες, τόπος γινώμεθα Θεοῦ. Ἐσόμεθα δὲ καὶ κατοικητήριον αὐτοῦ, σκοπευτικοὶ τῆς ἀληθείας καὶ ἀρετῆς προθέμενοι εἶναι. Σιὼν γὰρ σκοπευτήριον ἑρμηνεύεται. Ὡς οὖν ὁ ἁμαρτωλὸς δίδωσιν τόπον τῷ διαβόλῳ, οὕτως ὁ καλὸς καὶ ὁ ἀγαθὸς δίδωσι τόπον τῷ Θεῷ ἐν τῷ ἡγεμονικῷ αὐτοῦ, ζητοῦντι ἐνοικῆσαι ἐν ἡμῖν καὶ ἐμπεριπατῆσαι, καὶ μονὴν ποιῆσαι· καὶ ψυχὴ γενομένη σκοπευτήριον καὶ χρηματιστήριον τοῦ τόπου τοῦ Θεοῦ, ἔσται κατοικητήριον τοῦ Θεοῦ.

v· 11. Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι.

Τοῦτο τὸ ἐνθύμιον αὐτοῦ τοῦ ἀνθρώπου ἐστίν, μὴ ἐφαπτομένης ἔξωθεν δυνάμεως ἀγαθῆς ἢ πονηρᾶς, λέγεται δὲ καὶ λογισμός.

v. 11. Vat. 5.

ret Judæis ostendere eum esse quem Scripturæ significant. Sin autem idem locus sublatus fuerit, sæpe a fundamentis excisus ab hostibus, in pace autem dicitur esse locus Dei, is locus sæpe ab hostibus vastatus jam Dei locus dici nequit. Unde propheta non dixit: « In Salem » *factus est locus ejus,* unde aliquis judaica mente intelligeret esse Hierusalem. Sed pro civitate intellectum rei attulit, pro *Salem* cum dixit *in pace.* Si ergo vel in terra inveniantur animæ quæ in firma et tranquilla statione et in serenitate commorantur, verosimiliter dici possint et ipsæ locus Dei, ut quæ contineant divinum Spiritum. Quod si raro reperiantur loca hujusmodi in terra, sunt vero in cœlesti regione Dei civitates, animæ sanctorum, unde exulant dolor et luctus et planctus, dubio procul pacis erit locus superna Hierusalem, uti libera, ut quæ vere est visio pacis. Cæterum quocumque pacto a nobis met averruncanda est passionum procella, ut pacem habentes quæ exsuperat omnem sensum, Dei locus fiamus. Erimus autem etiam ejus habitatio, speculatores veritatis et virtutis in antecessum constituti. Sion enim interpretantur speculam. Sicut ergo peccator dat locum diabolo, sic bonus vir et probus dat, in suæ mentis phrontisterio, locum Deo quærenti habitare in nobis et deambulare et mansionem facere; atque anima quæ fit speculatorium et officina loci divini, erit Dei habitaculum.

v. 11. *Quoniam cogitatio hominis confitebitur tibi.*

Hæc cogitatio est ipsi homini indita, quamdiu foras non elicitur vis bona vel mala; etiam dicitur ratiocinium.

Psalmus LXXVI.

v. 1. **Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἡ φωνή μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι.** *Vat.* 671, 1.

Τί δὲ τὸ πρὸς Κύριον; ὅτι ἡ τῶν πολλῶν φωνὴ οὐκ ἀναφέρεται πρὸς τὸν Κύριον· οὐδὲ γὰρ κατὰ Κύριον πρόεισιν αὕτη· τοῦ δὲ δικαίου οὐ μόνον ἡ κατὰ τὴν εὐχὴν φωνή, ἀλλὰ πᾶσα φωνὴ ἱεροῦται τῷ Κυρίῳ, τῷ ἀεὶ λέγειν ἃ δεῖ, καὶ πᾶσα εἶναι κατὰ Θεόν. Καὶ ἡμεῖς οὖν ἐὰν μὴ ὅλῃ ἀνακειμένῃ ψυχῇ αὐτῷ εὐχώμεθα, ἀλλὰ παρὰ τὸν καιρὸν μόνον εὐχώμεθα, κεκραξόμεθα τῇ φωνῇ πρὸς τὸν Θεόν, οὐ καθαρᾷ δὲ φωνῇ εὐχόμενοι, οὐκ ἀκουσθήσομεθα. Ἐγὼ κἂν προσέχῃ μοι ὁ Θεός, διὰ τὴν ἐν ἐμοὶ ἄνοιαν οὐκ αἰσθάνομαι ὅτι προσέσχε μοι ὁ Θεός· ὁ δὲ ἤδη διαβεβηκὼς καὶ προκόπτων, οὐκ ἀναισθητεῖ τῆς τοῦ Θεοῦ προσοχῆς, ἢ τῆς ἀποστροφῆς· διὸ νῦν μὲν λέγει ὅτι προσέσχε μοι. Ἑτέρωθι δὲ ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις ἀπ' ἐμοῦ; ἐάν ποτε αἴσθησθε ἀπεστραμμένου αὐτοῦ, ἢ διὰ πειρασμοῦ, ἢ ὁπωσδήποτε τοῦ Θεοῦ κτλ.

v. 1. *Voce mea ad Dominum clamavi, et vox mea ad Dominum, et intendit mihi.*

Cur illud *ad Dominum?* Quod multorum vox non ad Dominum refertur, neque enim loquela vulgi secundum Dominum procedit. Justi autem vox non solum in oratione, sed in quocumque verbo consecratur Domino, in eo quod ea semper ait quæ oportet, et tota ad mentem Dei est. Et nos igitur, si Deum non cum tota ipsi devota anima oramus, sed dumtaxat pro tempore precamur, voce quidem clamaverimus ad Deum, sed voce non pura orantes, non audiemur. Ego sane etiamsi Deus intendat mihi, propter meam insipientiam, haud adverto quod mihi Deus intendit. Qui vero jam pervenit et sursum progreditur, non sentire cessat, utrum Deus attendat aut avertatur: ideo nunc dicit quod *intendit mihi.* — Et in alio loco: « Ut quid vultum tuum avertis a me? » Nisi forte sentiendum sit, a vobis eum aversum esse vel propter tentationem, vel demum qualicumque modo.

v. 4. **Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην. Ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου.**

Οὐ κομίζει ὀλιγοψυχίαν καὶ λύπην μνημονευθεὶς ὁ Θεός, ἀλλὰ καὶ εὐφροσύνην ἐργάζεται. Οὐδὲν γὰρ οὕτω παρακαλεῖ ψυχήν, ὡς μνήμη Θεοῦ· μνήμη γὰρ Θεοῦ εὐφραίνει ψυχήν. Ὁ δὲ ἐπιλαθόμενος αὐτῆς πενθήσει πικρῶς. — Ἀδολεσχία ἐστὶν ἡ περί τι συνεχὴς διατριβὴ καὶ ὁμιλία.

v. 4. *Memor fui Dei, et delectatus sum; exercitatus sum, et defecit spiritus meus.*

Dei memoria neque attenuat animam, neque constristat, sed lætitiam creat. Nihil enim adeo solatur animam, sicut recordatio Dei. Memoria enim Dei lætificat animam. Qui vero eum obliviscitur, amaro dolebit planctu. — Exercitatio est de aliquo negotio continua tractatio et colloquium.

5. **Προκατελάβοντο φυλακὰς πάντες οἱ ἐχθροί μου.**

Τοῦτο γνώρισμά ἐστι πολλῆς ἀγρυπνίας.

v. 5. *Anticipaverunt vigilias omnes inimici mei.*

Prolixæ vigiliæ hoc signum est. So-

Ps. LXXVI, v. 1. Vat. 15, Ps. XXII, 2.

v. 4. Vat. 3, 5, 16. v. 5. Vat. 5.

μόνον Θεὸν ἀναπολήσας καὶ μνησθεὶς ἐν τοῖς ὀδυνήροις, εὐφράνθην.

lummodo ego Deum iterum, iterumque revolvens, Deique memor in angustiis meis, hilaris fiebam.

v. 7. Καὶ ἐμελέτησα νυκτὸς μετὰ τῆς καρδίας μου, ἠδολέσχουν καὶ ἔσκαλεν τὸ πνεῦμά μου.

Τὸ ἔσκαλλον ὁ Θεοδοτίων ἐξηρεύνησεν· ὁ δὲ Σύμμαχος, ἐσκάλεσεν εἴρηκεν. Ταῦτά φησι· Νύκτωρ παρ' ἐμαυτῷ λογιζόμενος, ἀνηρεύνων. Τί δέ ποτε τῶν ἡμετέρων προγόνων τοσαύτην ἐποιήσατο πρόνοιαν; ἡμῶν δὲ κακοπραγούντων ὑπερορᾷ; ἐλογιζόμην δὲ πρὸς τούτοις καὶ ταῦτα· Ἆρα μὴ παντελῶς τὰ καθ' ἡμᾶς ἀπηγόρευσεν καὶ ἀλλοτρίους ἡμᾶς τῆς αὐτοῦ κηδεμονίας ἀπέφηνεν;

v. 7. *Et meditatus sum nocte cum corde meo, exercitabar, et sarriebam spiritum meum.*

Verbum *sarriebam* Theodotion vertit *scrutatus est*. Symmachus autem dixit *sarriebat*. Hæc David: Noctu mecum recogitans, scrutabar illud: qui fit ut demum pro majoribus nostris tantam præstiterit providentiam, nos autem qui prava agimus, despicit? Ad hæc autem id quoque considerabam: Nonne prorsus nostra condemnavit, alienosque nosmet ab ejus tutela demonstravit?

v. 11. Καὶ εἶπα· Νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Δεξιάν φησι ἀντιλαμβανομένην ἁγίων καὶ σώζουσαν αὐτούς, καὶ καταφέρουσαν ἐχθροὺς καὶ ἀνατρέπουσαν αὐτοὺς ἀνθεστηκότας· ἠλλοιώμην ἐγώ, πεφρόνηκα, λοιπὸν ὀρθῶς διάκειμαι, διότι καὶ ἀγαπᾷ Θεὸς τοὺς ἁγίους.

v. 11. *Et dixi: Nunc cœpi, hæc mutatio dexteræ Excelsi.*

Dexteram dixit eam manum quæ sanctos suscipit salvosque facit, et quæ hostes subigit, retroque verti adversarios cogit. Mutabar, inquit, sapuit mens, ac tandem recte compositus sum, quia Deus diligit sanctos.

v. 14. Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου.

Ἅγιος εἶ, φησί, καὶ ἐν ἁγίοις ἀναπαύῃ, καὶ ἐν τούτοις ἐνοικεῖς καὶ ἐμπεριπατεῖς.

v. 14. *Deus, in sancto via tua.*

Sanctus es, inquit, et inter sanctos requiescis, et in eis habitas et ambulas.

v. 16. Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου.

Βραχίων τοῦ Θεοῦ ὁ Χριστός, δι' οὗ ἠνέργησεν τὰ ἐν ἡμῖν ἀγαθά, τὰ κατὰ τὴν ἐπιθυμίαν αὐτοῦ γεγονότα.

v. 16. *Redemisti in brachio populum tuum.*

Brachium Dei Christus, per quem operatus est omnia in nobis bona, quæ secundum ejus beneplacitum facta sunt.

v. 17. Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα.

Νῦν τὰ ὕδατα λογικὰς φύσεις σημαίνει.

v. 17. *Viderunt te aquæ, Deus, viderunt te aquæ.*

Nunc aquas nuncupat spirituales naturas.

v. 18, 19. Φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται. Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.

v. 18, 19. *Vocem dederunt nubes; etenim sagittæ tuæ transeunt. Vox tonitrui tui in rota.*

v. 7. Vat. 12. cf. Field. II, 203 et nota varietatem plus minus dubiam. Neque etiam scholium cum psalmo apte congruit.

v. 11. Vat. 5, 16. Plura Cyrillo dantur apud Corder.

v. 14. Vat. 3.

v. 16, 17. Vat. 5.

v. 18. Vat. 12, 14. Videndum in fine annon alius interpres sit unus ex Senioribus alexandrinis.

Νεφέλας ἐν τούτοις [λέγει] τοὺς ἀποστόλους, τοὺς τὸν εὐαγγελικὸν καὶ οὐράνιον διακονοῦντες λόγον· βέλη δὲ τὰς ἐνεργείας τοῦ Πνεύματος. Ὅμοιον οὖν ὡσεὶ λέγοιεν· ἐνέργειαι εἰς τοὺς ἁγίους μαθητὰς ἐξάκουστοι πάσῃ τῇ οἰκουμένῃ γεγόνασιν. Ἰστέον δὲ ὡς καὶ αὐτὸς ὁ Χριστὸς βέλος ἐκλεκτὸν ὠνόμασται παρὰ τῷ Ἡσαΐᾳ. Βροντὴν, τὸν εὐαγγελικὸν λόγον, τὸν καταχτυπήσαντα τὴν ἐπούρανον, διὸ καὶ τὸν εὐαγγελιστὴν υἱὸν βροντῆς ἐπεκάλεσε. Τροχὸν δὲ τῶν ἀνθρώπων τὸν βίον, ὡς ἐκ τοῦ Ἰεζεχιὴλ ἔστι μαθεῖν. — Ἄλλος δὲ φωνὴν ἐν τῷ τροχῷ, ἡνίκα ἐνέδησε τοὺς ἄξονας τῶν αἰγυπτίων ἁρμάτων.

v. 21. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών.

Ἡ κατὰ Μωσέα φιλοσοφία τετραχῆ τέμνεται· εἰς τὸ ἱστορικὸν, καὶ τὸ κυρίως λεγόμενον νομοθετικὸν, ἅπερ ἂν εἴη τῆς ἠθικῆς πραγματείας ἴδια· τὸ τρίτον τε εἰς τὸ ἱερουργικὸν, ὅ ἐστιν ἤδη τῆς φυσικῆς θεωρίας, καὶ τέταρτον ἐπὶ πᾶσι τὸ θεολογικὸν εἶδος. Τετραχῶς δέ ἡμῖν ἐκληπτέον καὶ τοῦ νόμου τὴν βουλὴν ὡς τύπον τινὰ δηλοῦσαν, ἢ ὡς σημεῖον ἐμφαίνουσαν, ἢ ὡς ἐντολὴν κυροῦσαν εἰς πολιτείαν ὀρθὴν, ἢ θεσπίζουσαν ὡς προφητείαν. Ταύτῃ δὲ μεθόδῳ Μωϋσῆς καὶ Ἀαρὼν ὁδηγοῦσι τὸν ἀπὸ κακίας ἐπ᾽ ἀρετὴν ὁδεύοντα λαόν.

v. 21. Vat. 5.

Nubes in similibus locis dicit Apostolos, qui evangelicum cælestemque sermonem ministrant; sagittas autem Spiritus operationes. Perinde ergo ac si dixisset: operationes in sanctos Apostolos audire fecit universo orbi. Scito autem quod ipse Christus dicitur sagitta electa apud Isaiam. Tonitru autem ait verbum evangelicum, quod intonuit in toto orbe, ideoque evangelistam filium tonitru vocavit. Rotam vero dicit hominum vitam, ut apud Ezechielem legere est. Alius vero interpres *vocem in rota* audit, quando illigavit axes in curribus Ægyptiorum.

v. 21. *Deduxisti sicut oves populum tuum in manu Moysi et Aaron.*

Quadrifariam Mosaïca philosophia dividitur; aut historica est, et proprie legislativa, quæ ad moralem institutionem peculiariter spectant; tertia est liturgica, quæ porro pertinet ad naturalem contemplationem. Quarta est in primis de re theologica. Quadruplici autem modo nobis iutelligendum est Legis consilium: quatenus typum nobis exponat, aut signum ostendat, aut præceptum confirmet ad recte mores regendos, aut prophetiam vaticinetur. Per hanc viam et methodum Moyses et Aaron ab improbitate ad virtutem gradientem populum deduxerunt.

Psalmus LXXVII.

v. 1. Συνέσεως τῷ Ἀσάφ.

Προσέχετε λαός μου τὸν νόμον μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. *Vat.* 672, 1.

Ταύτης γὰρ δεόμεθα εἰς θήραν τῆς προκειμένης διανοίας, ὥστε γνῶναι τίς ὁ λόγος, καὶ τίς ὁ λαὸς αὐτοῦ, καὶ τίς ὁ νόμος, ἕτερος ὢν παρὰ τὸν τοῦ Μωσέως. Δαυὶδ γὰρ οὐκ ἦν νομοθέτης, ἵνα λέγῃ· Προσέχετε τῷ νόμῳ μου, οὐδὲ ἥρμοττεν αὐτῷ λέγειν· Τὰ ῥήματα τοῦ στόματός μου. Οὐ γὰρ οἰκεῖα, τὰ δὲ πρὸς τοῦ Πνεύματος προέφερε ῥήματα. Ὁ μὲν οὖν λέγων σωτήρ ἐστι, νόμος δὲ αὐτοῦ τὸ εὐαγγέλιον, καὶ λαὸς οἱ χριστιανοί. Τάχα δὲ εἰ μὴ Ματθαῖος εἶπεν ὅτι ἐκ προσώπου τοῦ Σωτῆρός ἐστιν ὁ ψαλμὸς, οὐκ ἂν ἐτόλμησα, διὰ τό· Ὅσα ἠκούσαμεν, καὶ τὰ ἑξῆς, ἐπὶ τὸν Σωτῆρα ἀναγαγεῖν τὰ γεγραμμένα. Νῦν δὲ σώζω, καὶ ὅτι ὁ Σωτὴρ ὁ λέγων ἐστὶ, καὶ ὅτι οὐ δι' ὅλου τοῦ ψαλμοῦ λέγει ὁ Σωτήρ.

Ταῦτα μὲν εἰς τὸ καθάραι τὸ λέγειν πρόσωπον, κατὰ λέξιν δὲ ἀκούσωμεν.

Προσέχετε κτλ. Νόμου ὄντος τοῦ κατὰ Μωσέα, εὔχεται τὸ ἐν τῷ προφήτῃ Πνεῦμα ἐν τῷ Θ' ψαλμῷ, ὅπως ἀναστήσῃ τοῖς ἔθνεσι νομοθέτην, καὶ διαθήσεται διαθήκην καινὴν, κατὰ Ἱερεμίαν, καὶ ἀλλαχόσε λέγει· Δώσω αὐτοῖς καρδίαν ἑτέραν τοῦ φοβεῖσθαί με, καὶ ὁδὸν ἑτέραν. Ἦλθεν οὖν ὁ Σωτὴρ, καὶ

Intellectus ipsi Asaph.

v. 1. *Attendite, popule meus, legem meam, inclinate aurem vestram in verba oris mei.*

Quo intellectu nobis opus est, ad explorandam mentem hic subjectam, unde noscamus quis sermo sit, et quis populus ejus, et quænam lex, alia porro quam Mosaïca. Nam David non erat legislator, ut dicat: *Attendite legem meam,* neque competit ei addere: *verba oris mei,* minime quippe sua, sed afflata a Spiritu sancto verba proferebat. Igitur is qui loquitur, Salvator est; ejus vero lex Evangelium, et populus Christiani. Sane nisi Matthæus edixisset hunc inesse psalmum in persona Salvatoris, ego ob illa verba: *Quanta audivimus, et patres nostri narraverunt* etc. non sustinuissem dicta hæc Salvatori ascribere. Sed nunc securus sum, Salvatorem esse eum qui loquitur, non tamen loqui per totum psalmum.

Hactenus hæc, ad declarandam loquentis personam; jam verbotenus audiamus:

Attendite etc. Lex quum sit Moysi data, postulat ille Spiritus, qui apud prophetam erat in psalmo IX, ut constituat legislatorem super gentes, et disponat testamentum novum, juxta Hieremiam; et alicubi dicit: « Dabo illis ut timeant me cor alterum, et aliam viam. » Accessit

Ps. LXXVII. Praeter majorem psalmum CXVIII, nullus alius est quem abundantiori Origenis commentario auctum reperimus, non solummodo in Vaticanis codd, quorum plerique parciores sunt, sed maxime in optimis codd. Laurentianis, inscriptis sub Plut. v. 14. et Plut. VI, 3, quos locuplete symbolo confirmant codd. Veneti apud Gallandium. Quibus si instituto nostro licuisset addere, quantumvis exilia, novem et decem scholiola a Maurinis collecta, et fusiora Gallandii, integer fere commentarius restitueretur.

v. 1. Laurent Plut v, 14. cf. Matth: XIII, 35, ubi David diserte appellatur sub nomine prophetæ, etiam Isaiæ, in nonnullis exemplaribus, teste Eusebio, fort. post Origenem, quem Cæsariensis de more suo sequitur in hoc psalmo, maxime ab initio, sive per compendia, sive παραφραστικῶς, filum magistri, ut idem ostendit, nunquam deserens.

λέγει Χριστιανοῖς, τῷ λαῷ αὐτοῦ, τῷ ἐξ ἐθνῶν· Προσέχετε, λαός μου, τῷ ἐμῷ νόμῳ, τῷ εὐαγγελικῷ, περὶ οὗ εἴρηται· Ἐκ Σιὼν ἐξελεύσεται νόμος, ἀλλὰ μὴ ὁ τοῦ Μωσέως. μηκέτι σαββατίζετε, μὴ πάλιν ἄζυμα ποιήσητε, μηκέτι κατὰ τὰ πρῶτα καὶ παλαιὰ πορεύεσθε. Ἰδοὺ, γέγονε τὰ πάντα καινὰ, τὰ ἀρχαῖα παρῆλθον. Ὅτι δὲ λαὸς Χριστοῦ τὰ ἔθνη, Ζαχαρίας φησί· Καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον, καὶ ἔσονται αὐτῷ εἰς λαόν.

igitur Salvator, et ait Christianis, populo suo ex gentibus: ***Attendite, popule meus, legem meam*** evangelicam, de qua dictum est: «Ex Sion exibit lex», sed non Lex Moysis. Nolite sabbata celebrare, neque azyma conficere amplius, neque secundum priora et vetera ambulare. Ecce omnia nova facta sunt, antiqua transierunt. Gentes autem esse Christi populum Zacharias asserit: «Confugient gentes multæ ad Dominum, et erunt ipsi in populum.»

v. 2. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς.

Καὶ ἐν τῷ εὐαγγελίῳ πρῶτον ἀπὸ τοῦ νόμου ἄρχεται ὁ Κύριος λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, εἶτα λέγει τὰς παραβολάς. Δεῖ δὲ καὶ ἡμᾶς πρῶτον τῷ νόμῳ ἐπιμελῶς ἐμμελετῆσαι, καὶ μετὰ τὴν κατόρθωσιν τῶν ἐθῶν ἐλθεῖν ἐπὶ τὴν θεολογίαν, ἤτοι τὰ τοῦ στόματος ῥήματα· οὐκ αἰσθητῶς δὲ πάρεστι Χριστὸς, τὸ ῥῆμα λαλῶν, ἵνα κλίναντες τοῦτο τὸ οὖς πληρώσωμεν τὴν ἐντολὴν, ἀλλ' ἔστιν ἄλλο τι ἐν ἡμῖν οὖς, περὶ οὗ λέγει ὁ Σωτήρ· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Παραβολή ἐστι λόγος ὡς περὶ γενομένου τοῦ μὴ γενομένου κατὰ τὸ ῥητὸν, δυναμένου δὲ γενέσθαι, τροπικῶς δηλωτικὸς τῶν πραγμάτων ἐκ μεταλήψεως τῶν ἐν τῇ παραβολῇ λεγομένων· ἢ λόγος ἀπό τινος οὐ κύριον μὲν ἐμφορῶν τῷ κυρίῳ, ἐπὶ δὲ τὸ ἀληθὲς καὶ κύριον ἄγων τὸν συνιέντα· ἢ λέξις δι' ἑτέρων τὰ κυρίως δηλούμενα μετ' ἐνεργείας παριστάνουσα.

v. 3-6. Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτὰ, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν· οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἀπαγγέλλοντες τὰς αἰνέσεις Κυρίου καὶ τὰς δυναστείας αὐτοῦ καὶ τὰ

v. 2. *Aperiam in parabolis os meum, loquar propositiones ab initio.*

Etiam in Evangelio, incipit primum a lege Dominus, dicens: « Beati pauperes spiritu, » postea edisserit parabolas. At nos quoque oportet primum legem sollicite exercere, ac post emendationem morum, transire ad sermonem de Deo, nimirum ad verba oris. Haud vero per sensus adest Christus, successive locutus, ut hanc aurem inclinantes, mandatum impleamus, sed nobis alia indita auris est, de qua Salvator dicit: « Qui habet aures audiendi, audiat. »

Parabola sermo est, quo veluti factum refertur quod non evenit, juxta litteram, per figuram res declarans quæ metaphorice in parabola significantur; vel sermo est qui verba quædam non propria miscet propriis, sed quæ intelligentem ea ad verum et proprium sensum ducant; vel etiam dicendi genus quod per aliena verba, facto interposito, propria significat.

v. 3-6. *Quanta audivimus et cognovimus et patres nostri enarraverunt nobis. Non sunt occultata a filiis eorum, in generatione altera; narrantes laudes Domini et virtutes ejus et mirabilia ejus quæ fecit. Et*

v. 2. Vat. 5, 12, 14. Laurent. Plut. v, 14. cf. Matth. v, 3; xiii, 43. Huc accedunt Athanasius et vetus anonymus apud Corder. ii, 631, 633, 634. Etiam p. 635 Theodorus Mopsuestenus, quod notandum est, ab Origene recepit πνεῦμα interpretatum προαίρεσις, pelagianæ, ut solet, doctrinæ favens. Codd. habere videntur inepte ἠρέμα λαλῶν.

v. 3-6. Laurent. Plut. v, 14. Deuter. xl, 17. Ab initio sua in primis recepit Eusebius.

θαυμάσια αὐτοῦ ἃ ἐποίησε. Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ἔθετο ἐν Ἰσραὴλ, ὃν ἐτείλατο τοῖς πατράσιν ἡμῶν, γνωρίσαι αὐτὸν τοῖς υἱοῖς αὐτῶν, ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται, καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν, ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήτωσιν, ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα· γενεὰ ἥτις οὐ κατηύθυνε ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.

suscitavit testimonium in Jacob, et legem posuit in Israel, quam mandavit patribus nostris notam facere eam filiis suis, ut cognoscat generatio altera, filii qui nascentur et exsurgent et narrabunt filiis suis, ut ponant in Deo spem suam, et non obliviscantur operum Dei, et mandata ejus exquirant, ne fiant sicut patres eorum, generatio prava et exasperans, generatio quæ non direxit in corde suo, et non est creditus cum Deo spiritus ejus.

Τὸ ἑξῆς οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν, ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου. Τὰ μὲν οὖν πρῶτα ἐξ ἑνὸς ἐλέγετο προσώπου τοῦ Χριστοῦ, τὰ δὲ προκείμενα λέλεκται μὲν ἐκ τοῦ αὐτοῦ· συμπαραλαμβάνει δὲ καὶ ἕτερα πρόσωπα, ὑποκαταβὰς τῆς αὐτοῦ θεότητος, καὶ ἀνθρωπίνως φθεγγόμενος. Οἱ δὲ συμπαραλαμβανόμενοι εἰσὶν οἱ κατὰ σάρκα ὁμογενεῖς αὐτοῦ μαθηταί. Διὸ πληθυντικῶς διεξέρχεται τὰ μετὰ χεῖρας. Ὅτε μὲν γὰρ οἰκεῖον νόμον αὐτοῖς προὐβάλετο, σὺν αὐθεντίᾳ βασιλικῇ ἐξ ἑνὸς προσώπου προεφέρετο τὴν ἐπαγγελίαν. Νῦν δὲ ὅτε τῶν παλαιῶν ἀναγνωσμάτων ἐπιτέμνει τὴν διήγησιν, κοινοποιεῖ τὸν λόγον, καὶ ἠκούσαμεν, εἶπε, διὰ τὸ πρόσλημμα, καὶ ἔγνωμεν, ἀντὶ τοῦ ἐβεβαιώθημεν περὶ αὐτῶν, καὶ ἐπληροφορήθημεν, τῶν πατέρων ἡμῖν διηγησαμένων, Μωσέως, φημὶ, καὶ τῶν προφητῶν. Τούτων γὰρ υἱὸς ὁ Χριστὸς διὰ τῆς μητρός.

Ea sequuntur: *Patres nostri enarraverunt nobis, annuntiantes laudes Domini.* Præcedentia quidem ex una Christi persona pronuntiabat; lecta vero nunc dicuntur quidem ex eodem nomine, sed simul comprehendit alias personas, descendens ab ipsius deitate, humanoque more locutus. Qui vero conveniunt, sunt connaturales ipsi secundum carnem, discipuli. Ideo plurali numero pergunt quæ ad manus sunt. Quando enim propriam legem illis subjiciebat, cum regia auctoritate, unius imperantis ore, sententiam proferebat. Nunc vero quum veterum documentorum relationem perstringit, communi sermone utitur, et *audivimus,* inquit, per acceptam traditionem, et *cognovimus,* ac si dicat: De his rebus confirmati et certiores facti sumus ab enarrantibus nobis patribus, a Moyse, inquam, et prophetis. Horum quippe filius per matrem Christus erat.

Τάχα δὲ καὶ οἱ μαθηταὶ ἀποκρίνοντες καί φασιν· Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν, καὶ τὰ ἑξῆς. Οὐ πάντων δέ ἐστιν τὸ ἀκούειν καὶ τὸ γινώσκειν, ἢ μόνον τῶν συνιέντων τοὺς λόγους· ἀλλ' οὐδὲ πᾶσιν οἱ φύσει πατέρες διηγήσαντο, ἀλλά τισι, καὶ οἱ κατ' ἐπιστήμην καὶ θέσει. Ἡμεῖς γοῦν οἱ ἐξ ἐθνῶν τῷ θείῳ Λόγῳ προσελθόντες, οὐκ ἔχομεν διδασκάλους ἐπιγράψασθαι τῶν μαθημάτων

Fortasse etiam discipuli sunt qui respondent et dicunt: *Quanta audivimus et cognovimus,* et cætera. At non omnium est audire et cognoscere, sed dumtaxat eorum qui sermones intelligunt. Sed neque omnibus germani patres enarraverunt, sed quibusdam, ex scientia filiis et per habitum. Nos ergo qui ex gentibus divinum ad verbum accessimus, ascri-

τοὺς κατὰ σάρκα πατέρας. Εἰ δὲ βούλει, ταῦτα οἱ Χριστοῦ νοῦν ἔχοντες συνῆκαν πνευματικῶς· οὐ γὰρ ἐκρύβη ἀπ' αὐτῶν τῶν πατέρων κατ' ἐπιστήμην διηγησαμένων αὐτοῖς. Καὶ αὐτοὶ δὲ οὗτοι τοῖς τέκνοις ἑαυτῶν γεννηθεῖσιν ὑπ' αὐτῶν διὰ παιδεύσεως ἐφανέρωσαν τὰ ἀπ' ἀρχῆς προβλήματα, ὅπως καὶ εἰς τὴν ἑξῆς αὐτῶν γενεὰν γνωστὰ, καὶ μὴ κεκρυμμένα τυγχάνῃ. Ὅσα οὖν, φησὶ, παρὰ τῶν πατέρων δεδιδάγμεθα ἀκούσαντες, πάντα ταῦτα διὰ τῶν ἔργων καὶ τῆς αὐτοῦ Χριστοῦ παρουσίας ἐγνώκαμεν, οὐχ ἑτέρᾳ δὲ γενεᾷ, ἀλλὰ τοῖς τέκνοις αὐτῶν πέπρακται τὰ παρὰ τοῦ Σωτῆρος μεγαλουργήματα. Διὸ οὐκ ἐπαύσαντο αὐτοῖς ἐπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ, τουτέστι τὰ θαυμαστὰ καὶ αἰνετὰ, καὶ θείας δυνάμεως δηλωτικὰ ἔργα αὐτοῦ.

Κατὰ δὲ τὸ πρόχειρον· Ἄνωθεν, φησὶ, καὶ ἐξ ἀρχῆς οἱ τῶν θαυμάτων αὐτόπται τοὺς προσέχως οἰκείους παῖδας, ταῦτα ἐδίδαξαν, κἀκεῖνοι τοῖς ἐκγόνοις παρέπεμψαν, οὐ κρύψαντες ἃ ἔμαθον πρὸς τὴν ἑτέραν μετὰ αὐτοὺς γενεὰν καὶ ἑξῆς. Τοῦτο δὲ ἐποίουν, τῷ θείῳ νόμῳ πειθόμενοι, τῷ λέγοντι· Διδάξεις αὐτὰ τοὺς υἱούς σου καὶ τοὺς τῶν υἱῶν σου. Διὸ ἐπάγει· Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἐπαγγέλλοντες τὰς αἰνέσεις Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε, καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ἔθετο ἐν Ἰσραὴλ, ὃν ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, γνωρίσαι αὐτὸν τοῖς υἱοῖς αὐτῶν, ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται, καὶ ἐπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.

Διεμαρτύρετο, φησὶ, καὶ νόμον διέθετο τῷ προτέρῳ λαῷ ἐντειλάμενον αὐτοῖς γνωρίσαι αὐτὸν τοῖς ἀπογόνοις, ὡς ἂν μηδεμίαν λάθῃ γενεάν. Τὸ δὲ συμπέρασμα τοῦ νόμου, καὶ ὁ σκοπὸς οὗτος ἦν, ἵνα μαθόντες τὰ γεγονότα, βεβαίαν κτήσαιντο τὴν εἰς αὐτὸν ἐλπίδα, καὶ τοῖς ὑπ' αὐτοῦ τεθεῖσι νόμοις ἀκο-

bendos non habemus secundum carnem magistros patres qui nos erudierint. Sin malueris, qui Christi Spiritum habent, hæc spiritualiter intellexerunt. *Non sunt abscondita a patribus* per scientiam *ea quæ ipsis* relata sunt. Et iidem ipsi filiis suis, quos genuerunt, per magisterium manifestarunt ea quæ ab initio proposita sunt, ut futuræ postmodum posteritati innotescant, neque occulta evadant. Quanta igitur, ait, a patribus nostris ex auditu didicimus, eadem omnia per Christi opera ejusque adventum cognovimus, neque in altera generatione, sed inter ipsos filios peracta sunt grandia Salvatoris opera. Unde non destiterunt ab enarrandis laudibus Domini et virtutibus ejus, quæ opera stupenda sunt et plausu digna, divinæque signa potentiæ.

Quantum ad ea quæ in promptu sunt: olim, inquit, et ab initio oculati miraculorum testes proprios deinceps filios illa edocuerunt, et isti ad natos suos tradiderunt, non celantes ea quæ sciverunt, cum altera post ipsos communicanda generatione, et sic porro. Id vero faciebant, divinæ obtemperantes legi, quæ statuit: « Docebis ea filios tuos, et filios filiorum tuorum ». Unde adjicit: *Non occultata sunt filiis eorum in generatione altera, renuntiantes laudes Domini et potentias ejus et mirabilia ejus quæ fecit. Et constituit testimonium in Jacob, et legem posuit in Israel, quam patribus nostris præcepit, ut notam facerent eam filiis suis, unde noverit generatio altera, filii quos genuerint, et exsurgent, et annuntiabunt ea filiis suis.*

Testatus est, inquit, et legem disposuit, priori populo præcipiens ut eam notam posteris faciat, nullamque lateat generationem. Legis autem ultima ratio et scopus erat, ut edocti præterita, firmam in ipsum spem acquirerent, et statutis ab eo legibus obedientiam præstarent,

λουθήσωσι· καὶ ἵνα μὴ γένωνται ὡς οἱ πατέρες· ἠθέτουν γὰρ ἀεί, καὶ οὐκ ἐδιβαιοῦτο ἡ καρδία αὐτῶν πρὸς αὐτόν. Τοῦτο γὰρ τὸ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς. Πνεῦμα δὲ νῦν τὴν προαίρεσιν, τὴν τῆς γνώμης διαθέσιν λέγει. Σκολιὸν δὲ καλεῖ, οὐχ ὅτι ἐκ φύσεως ἦν φαύλη, ἀλλ' ὅτι ἔχουσα οὐ κατηύθυνε τὴν καρδίαν ἑαυτῆς, οὐδ' εἶχεν ὀρθὴν πίστιν πρὸς τὰς θείας ἐπαγγελίας, ἀλλ' ἐδίσταζε, καὶ παρεπίκραινε διὰ τοῦτο γογγύζειν ἐν τοῖς δυσχερέσι. Καὶ ταῦτα μὲν ὁ Δαυὶδ παρεγγυᾷ τοῖς περὶ αὐτόν. Σὺ δὲ καὶ οὕτως ἐπιβαλεῖς· Μαρτύριόν φησι τοῦ μαρτυρίου, ἐν ᾗ καὶ πλάκες, παιδαγωγῶν αὐτοὺς εἰς τὸ γνῶναι διὰ τοῦ νόμου τὸν κατὰ καιρὸν ἐπιδημοῦντα Σωτῆρα τῷ γένει, ὅπως οἱ τεχθησόμενοι υἱοί, τουτέστιν οἱ μακάριοι μαθηταὶ τὰ θαυμάσια ἃ κατώρθωσεν ὁ Χριστός, ἀπαγγελοῦσι τοῖς προσελθοῦσι τῇ πίστει, καὶ ταῦτα αὐτοῖς διηγήσονται, δι' ὧν δυνήσονται μόνον ἐλπίδα τὸν Θεὸν ἐπιγράψασθαι, τὴν τῶν πατέρων κακοδαιμονίαν μὴ μιμησάμενοι. Ὁ γὰρ πρότερον λαὸς οὐκ ἐτήρησε τὴν συνθήκην, τὴν πρὸς τὸν Θεόν, οὗ τοὺς ψόγους μανθάνωμεν, ἵνα μὴ γινώμεθα ὡς ἐκεῖνος, ὁ δὲ λαὸς ὁ τεχθησόμενος, ὁ ἐξ ἐθνῶν πιστεύσας, συνταφεὶς Χριστῷ διὰ τοῦ βαπτίσματος, καὶ συνανέστη αὐτῷ· διὸ εἴρηται· Ἀναστήσονται υἱοὶ τεχθησόμενοι.

v. 10-12. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς ἐναντίον τῶν πατέρων αὐτῶν, ἃ ἐποίησε θαυμάσια ἐν γῇ Αἰγύπτου, ἐν πεδίῳ Τάνεως.

Καίτοι πολλὰ εὐηργετουμένα πάντα ἀπὸ τῆς μνήμης ἀπεῤῥίπτησαν· καὶ τούτου ἀπόδειξις τὸ παραδοῦναι αὐτὸν Πιλάτῳ. Εὐεργετούμενοι ὑπὸ τοῦ κτίστου, ἐπιλανθάνονται οἱ αἱρετικοί, καὶ οὐκ ἐνορῶσιν τοῖς ἐν τῇ

Neque fiant sicut patres eorum. Perpetuas enim contumelias impingebant, nec firmabatur eorum cor in illum. Id enim ait: *Et non est creditus cum Deo spiritus ejus.* Nunc vero spiritum esse ait liberam voluntatem, sententiæ deliberationem. Pravam vocat eam, non quidem ex natura, sed quod sponte sua non direxit cor suum, neque rectam habuit fidem in divina promissa, sed dubia movit, et exacerbavit, dum murmuravit in arduis. Et ea quidem sunt quæ suis David renuntiat. Tu vero etiam sic subjicies: testamentum allegat testimonii, in quo erant tabulæ Legis, erudiens eos ut per Legem agnoscant Salvatorem in tempore conversantem suo cum genere, ut nascituri filii, id est beati discipuli, prodigia quæ Christus patravit, annuntiarent fidelibus, eaque illis enarrarent, quorum ope valerent in solum Deum spem assignare, neutiquam imitati pessimam patrum superstitionem. Priscus enim populus non custodivit fœdus cum Deo initum: cujus vituperia recolamus, ne similes huic populo fiamus, immo vero nasciturus populus, qui ex gentibus credidit, consepultus Christo, in ipso surrexit. Ideo dictum est: *Exurgent filii nascituri.*

v. 10 - 12. *Non custodierunt testamentum Dei, et in lege ejus noluerunt ambulare. Et obliti sunt benefactorum ejus et mirabilium ejus, quæ ostendit eis coram patribus eorum, quæ fecit mirabilia in terra Ægypti, in campo Taneos.*

Interim permulta illis collata beneficia, omnia ex memoria expunxerunt, et argumento est Christus Pilato traditus. — Beneficia Creatoris adepti, hæretici ea obliviscuntur, neque intuentur cumulata

v. 10-12. Vat. 4. Laurent. Plut. v, 14, Plut. vi, 3. Quædam Athanasio tribuit Corder. l. l. et legit cum codd. florentinis ἀνεῤῥίπτισαν. Eosdem semper haereticos antenicaenos impetit.

κτίσει θαυμασίοις. Οἱ ἀρνούμενοι τὰ παλαιὰ οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, ἀλλὰ καὶ οἱ διακόπτοντες τὴν θεότητα, ἐν τῷ τοῦ κτίσαντος πνευματικῷ νόμῳ οὐκ ἐβουλήθησαν πορεύεσθαι. — Τάνις λέγεται ἐντολὴ ἀπὸ κρίσεως, ἢ ἐντολὴ ταπεινή· περὶ Τάνιν γέγονεν τὰ θαύματα.

v. 13. Ἔστησεν ὕδατα ὡσεὶ ἀσκόν.

Ἀντὶ τοῦ ἐν ἀσκῷ.

v. 14. Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.

Καὶ ἡμέρᾳ παρεῖχε νεφέλην σκιάζουσαν καὶ τὸ λυπηρὸν τῆς ἀκτῖνος ἀποκρουομένην· νύκτωρ δὲ πρὸς χρεῖαν παρεῖχε φωτίζουσαν.

v. 16. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας.

Ἡ δὲ πέτρα, φησίν, τίς ἢ ὁ Χριστός;

v. 17. Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ.

Οὐχ ἑαυτοῖς φησιν, αὐτῷ γὰρ Θεῷ ἡμάρτανον διὰ τῆς πρὸς αὐτὸν ἀντιλογίας.

v. 18. Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.

Ὅρα δὲ τὴν τοῦ Θεοῦ οἰκονομίαν· ὁρῶν λαὸν ἐπιθυμητόν, καὶ καθάραι αὐτὸν ἀπὸ τῆς ἐπιθυμίας βουλόμενος, ἑώρα ὅτι λόγῳ διδασκαλικῷ οὐ καθαίρεται, ἀλλ' αὐτῇ τῇ ἐπιθυμίᾳ γινομένῃ προσκορεῖ. Πάντων γὰρ κόρος ἐστίν, οὐχ ὕπνου μόνον, ἀλλὰ καὶ βρωμάτων, διὸ ἔπεμψεν αὐτοῖς ὀρτυγομήτραν ἐπὶ τριάκοντα ἡμέρας. Οἱ δὲ τῇ ἀπληστίᾳ χρησάμενοι, χολερικῷ πάθει διεφθείροντο. Δὶς δὲ εὑρίσκω τὸν λαὸν φάγοντα ὀρτυγομήτραν, ἅπαξ μὲν ἡνίκα εὐθέως ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου, τὸ δὲ δεύτερον, ὡς ἐν τοῖς Ἀριθμοῖς ἀναγέγραπται, ἡνίκα κακῶς εἶπεν τὸν ἄρτον τοῦ Θεοῦ, καὶ διάκενον αὐτὸν ὠνόμασεν, ὅτε καὶ ὀργὴ ἀνέβη ἐπ' αὐτούς, τάχα ὡς κάτω που οὖσα πρὶν ἢ ἁμάρτωσιν.

v. 13. Vat. 5.
v. 14. Laurent. Plut. vi, 3.
v. 16. Vat. 5.

in creatione prodigia. Qui vetera repudiant, non custodierunt Dei testamentum, sed et qui dissecant deitatem a Creatore, in spirituali lege noluerunt ambulare. — Tanis dicitur etymo *mandatum a judicio,* vel, *humile præceptum.* In circuitu Taneos portenta contigerunt.

v. 13. *Statuit aquas quasi utrem.*

Id est in utre.

v. 14. *Et deduxit eos in nube diei, et tota nocte in illuminatione ignis.*

Et in die præstitit nubem obumbrantem et temperantem radii solis acerbitatem; in nocte autem illuminantem eam commode aptavit.

v. 16. *Et eduxit aquam de petra.*

Petra illa qualis dicitur, nisi Christus?

v. 17. *Et adhuc apposuerunt peccare ei.*

Non dixit *peccare* ipsis, in ipsum enim Deum peccabant, ob suam adversus eum contradictionem.

v. 18. *Et tentaverunt Deum in cordibus suis, ut peterent escas animabus suis.*

Considera jam Dei œconomiam: cernens populum cupidini deditum, volensque eum purgare a concupiscentia, vidit eum non emendari verbo magistri, sed satietatem fieri ex ipsa met concupiscentia. Cujuscumque enim voluptatis fit fastidium, non somni tantum, sed etiam ciborum: ideo misit illis coturnicem per trigiuta dies. Qui vero inexplebili gula abusi sunt, cholerico morbo perierunt. — Bis autem invenio populum comedisse ortygometram: semel statim atque exierunt de terra Ægypti, iterum, sicut in Numeris scriptum est, quando oblocuti sunt de pane Dei, quem inanem appellaverunt. Quo etiam tempore « ira

v. 17. Vat. 2, 6.
v. 18. Laur. Pl. v, 14. Exod. xvi, 13. Num. xi, 31. Ps. civ, 40.

v. 19-25. Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ εἶπαν· Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν, μὴ καὶ ἄρτον δυνήσεται δοῦναι; ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ; διατοῦτο ἤκουσε Κύριος, καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραὴλ, ὅτε οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φάγειν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.

Λυπεῖ δὲ οὐδὲν καὶ κατὰ ἀναγωγὴν τὰς ἱστορίας ταύτας θεωρῆσαι. Ῥύεται τοίνυν ὁ Θεὸς καὶ ἡμᾶς ἀεὶ ἐκ γῆς Αἰγύπτου, ἐκ τῆς καμίνου τῆς σιδηρᾶς, τῆς κατὰ τὴν ἁμαρτίαν, ἵνα εἰσαγάγῃ διὰ πολλῶν γυμνασίων, διὰ πολλῶν θαυμασίων, δι' ἄρτου ἐπουρανίου, δι' ὕδατος ἀπὸ τῆς πέτρας (ἡ πέτρα δὲ ὁ Χριστὸς), ἐπὶ τὴν ἁγίαν ἐπαγγελίαν. Μέγα οὖν ἐμοὶ, ἐὰν νοήσας τὴν θάλασσαν τοῦ βίου καὶ τὰ κύματα τὰ ἐν τῷ βίῳ, καὶ τὸ πικρὸν καὶ ἁλμηρὸν τῶν βιωτικῶν πραγμά-

ascendit in eos, » quæ nimirum infra subsidebat, antequam peccarent.

v. 19, 20. *Et male locuti sunt de Deo, et dixerunt: Numquid poterit Deus parare mensam in deserto? quoniam percussit petram, et fluxerunt aquæ et torrentes inundaverunt, numquid et panem poterit dare et parare mensam populo suo? Ideo audivit Dominus, et distulit, et ignis accensus est in Jacob, et ira ascendit in Israel, quia non crediderunt in Deo, nec speraverunt in salutari ejus. Et mandavit de nubibus desuper, et januas cœli aperuit. Et pluit illis manna ad manducandum, et panem cœli dedit eis. Panem angelorum manducavit homo, cibaria misit eis in abundantiam.*

Minime taedet me etiam anagogice has historias contemplari. Interim liberat nos Deus semper a terra Ægypti, a ferrea fornace, peccati videlicet, ut per multa exercitia, per portenta multa, per panem cœlestem, per aquam de petra, (petra autem est Christus,) introducat ad sanctam promissionem. Magnum est ergo mihi, si animo reputans hujus vitæ pelagus, et fluctus in vita tumentes, acres quoque et amarulentas rerum sæ-

v. 19. 25. Vat. 12, 14, 16, Laur. Plut. v, 14. Inde Gallandius consentire incipit ex codd. Venetis cum nostris: sed hæc minus apte retulit ad v. 30, 31, haud sine mendis emendandis, uti ab initio. Ῥύεταί τοι ὁ Θεὸς (sic)... ac supplenda quæ dedit punctis hiantia: ἐὰν ποτέ με (male Gall. ἐὰν ποτέ γε) σκοτεινὰ καὶ δύσκολα [καταλάβῃ] καὶ ὁ κόσμος μὲν ἐσκότωται (male G. ἐσκότηται). Post πεπλήρωται plura idem addit quæ ignorant codd. nostri, contorta et obscura, ab indole Origenis aliena. Sed communis series resumitur ab ἐὰν ἐν τῇ ἐρήμῳ, donec iterum intrudantur aliena, ut opinor, Gallandii scholia. Sed et in fine lacunam Gallandii nostra implent feliciter: Ἀλλ' οὐρανοῦ θυρίδες ἡμῖν ἀνοίγειεν, αἱ τῶν νοητῶν καὶ πνευματικῶν ἐξαπλώ[σεις· Ἠ ἀρεταὶ πύλαι οὖσαι οὐρανοῦ, ὡς αἱ] κακίαι ᾅδου κτλ. Tandem ne alios videamur nævos omisisse, apud Gall. lege τρέφῃ ὁ λογος pro ὁ νομος... Ἐὰν νοῇς pro ἐὰν οὖν... Ἐσθίοντες δὲ ποτε τὸ μαννα ἔδραῖοι pro ἐσθιόντων κτλ... καὶ διάκονοι ubi pessime καὶ δίκαιοι... ἐκ τοῦ σκότους ubi σκότου? Alia omitto f. librariorum aut typothetarum σφάλματα. — Quantumvis commentarius sit solito fusior, dolendum deesse litteralem expositionem quæ nuntiatur, et supprimitur: ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἰτέον. — Ubi pauca de Matthæi mensa occurrunt, sane Origenes notare non neglexisset, statim post conversionem apostoli, cum eo Christum in cœna domi accubuisse. Neque demum omittenda quæ hic illic ad concionantem in catachesi διδάσκαλον pertinent. At neque non gestiet theologus lector stylo prompto et læto notare innumera in hisce scholiis ad Eucharistiam et sacros ritus variosque fidei catholicæ articulos referenda. Cf. 1 Cor. x, 4. Joan. xix, 15. Act. iii, 15. Ps. lxxvii, 15. Eod. xvii, 6. ii. Cor. iii, 6. Sap. xvi, 20, 21. i Cor. xv, 49; ii, 14. Exod. xvi, 15, 31. Num. xi, 5, 6. Prov. ix, 2. Rom. vii, 8.

των κλυδώνιον, δυνηθῶ, εὐεργεθεὶς ὑπὸ τοῦ Θεοῦ, ἰδεῖν καταποντισθέντας τοὺς νοεροὺς Αἰγυπτίους καὶ τὸν νοητὸν Φαραώ. Αὐτὸς δὲ ὢν ἐν τῷ φωτὶ τῆς ἡμέρας, σκεποίμην ὑπὸ νεφέλης τῆς κούφης καὶ ὑπὸ φωτισμοῦ πυρὸς, ἐάν ποτέ με σκοτεινὰ καὶ δύσκολα καταλάβῃ, καὶ ὁ κόσμος μὲν ἐσκότωται, καὶ πάντα ἀγνοίας πεπλήρωται.

Ἐὰν ἐν τῇ ἐρήμῳ τοῦ βίου, ἔνθα πολλὴ ἐπικρατεῖ ἄνοια τῶν πραγμάτων, διελὼν τὸν στεῤῥότατον αὐτοῦ λόγον, πέτραν ὀνομαζόμενον, ἀφθόνως καὶ εἰς κόρον ποτίσῃ με, ὡς παραβληθῆναι τὸ ῥέον ὕδωρ ἀβύσσῳ, καὶ τοὺς ἐκ τῆς πνευματικῆς κοιλίας ποταμούς· ἐγὼ δὲ παραπικραίνω τὸν Ὕψιστον ἐν ἀνύδρῳ, ἐὰν μετὰ τὴν διδασκαλίαν πάλιν ἁμαρτάνω, ἐπιλανθανόμενος τῶν λόγων τῶν τρεψάντων με, καὶ τοῦ ὕδατος τοῦ ἀπὸ τῆς πέτρας, ἥτις ἐστὶν ὁ Χριστός. Πέτρᾳ δὲ ἀπεικάζεται ὁ Χριστὸς διὰ τὸ ἄθραυστον καὶ ἀκλόνητον. Ἐρήρεισται γὰρ ἰδίοις ἀγαθοῖς ἡ θεία τε καὶ ὑπέρτατος φύσις. Οὗ καὶ κατελάλησαν ὡς ἐν προσώπῳ Μωσέως ἡ συναγωγὴ, κατηγοροῦντες ἐπὶ Πιλάτῳ, καὶ τό· Αἶρε, σταύρωσον, ἀνακεκράγασιν. Εἶτα δὲ δυσὶ λελυπήκασι πληγαῖς, ὡς τὴν πέτραν Μωϋσῆς δὶς ἐπάταξεν. Ἀπεκτείνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς, εἶθ' ὅτι μεμένηκεν ἐν νεκροῖς, ἀναπείθειν ἔθελον. Ἀλλ' ἐκδέδωκεν ἡ πέτρα πλουσίως τὸ νᾶμα, καὶ πεπότικε πᾶσαν τὴν συναγωγήν. Ἐπέκλυσε γὰρ τὴν οἰκουμένην Χριστὸς ἱεροῖς τε καὶ θείοις νάμασιν. Ὁ πηγάζων τὸ θεῖον νᾶμα τοῖς διψῶσι, καὶ προχέων τὸ ὕδωρ ἐκ τῆς πλευρᾶς, τοῦ σιδήρου τὴν φλέβα ταύτην ἀναστομίσαντος, καὶ τὸ πικρὸν τῆς Μεῤῥᾶς, τοῦ κολαστοῦ νόμου, μετέβαλεν εἰς γλυκύτητα τῇ παραδοχῇ τοῦ ξύλου τοῦ σταυροῦ καὶ τοῦ ἐπ' αὐτῷ μυστηρίου· τὸ γὰρ γράμμα καὶ ὁ νόμος ἀποκτείνει, τὸ δὲ πνεῦμα καὶ ἡ ἐν πνεύματι λατρεία ἡ εὐαγγελικὴ ζωοποιεῖ.

Πάλαι μὲν [ἄρτον] ἔδωκεν ὁ Θεὸς τῷ λαῷ αὐτοῦ ἀκοπίαστως πρὸς πᾶσαν ἡδονὴν ἰσχύοντα· πρὸς ὃ γάρ τις ἐβούλετο, μετεκρί-

culi undas, possim, beneficiis a Deo cumulatus, videre submersos spirituales Ægyptios et invisibilem Pharaonem. Ipse autem ego sub luce diei, protegar a nube levi, et ab igne rutilante, si quando forte me tenebrosa et ardua discrimina invadant, vel mundus caligine obscuret, aut omnia sint ignorantiæ referta.

Quod si in hujus vitæ eremo, ubi multa dominatur dementia negotiorum, dividens firmissimum suum verbum, petram dictum, abunde et ad satietatem ita irrigat me, ut conferatur unda fluens cum abysso et fluminibus a ventre spirituali inundantibus, ego tamen exacerbo *Altissimum in loco inaquoso,* si post didascaliam iterum pecco, immemor sermonum qui enutriverunt me, et aquæ de petra quæ est Christus. Petræ porro assimilatur Christus, propterea quod nec frangi, nec concuti potest. Firmata est enim in bonis suis divina et sublimissima natura: contra quem oblocuti sunt, tanquam in persona Moysis, synagogæ asseclæ, qui apud Pilatum accusarunt eum, et clamarunt: « Tolle, crucifige. » Deinde vero duplici offenderunt plaga, sicut petram Moyses bis percussit. « Interfecerunt enim auctorem vitæ. » Tum etiam persuadere voluerunt quod manserit inter mortuos. « Sed reddidit petra fluentum abundans, et potavit plebem universam. » Inundavit enim orbem terrarum Christus sanctis divinisque fluentis. Ipse qui scaturit fluentum divinum sitientibus, et profundit aquam de latere, ferro hanc venam aperiente, idem amaritudinem Merræ, legis nempe sævientis, mutavit in dulcorem ligni crucis et mysterii ejus: « Littera enim et Lex occidit, spiritus vero et spiritualis cultus evangelicus vivificat ».

« Olim quidem dedit Dominus populo suo panem sine labore, vires cum omni suavitate reficientem; prout enim quis-

νατο. Τοιαύτη δὲ καὶ ἡ τοῦ τρέφοντος τὴν ψυχὴν λόγου φύσις, πρὸς τὴν δύναμιν τοῦ τρεφομένου μεταβάλλουσα· Ἐὰν νήπιον τρέφῃ ὁ λόγος, γάλα γίνεται· ἐὰν ψυχὴν ἀσθενοῦσαν, λάχανον· ἐὰν τέλειον, στερεὰ τροφή. Οὐ καθεζομένοις δὲ ἡμῖν ἔρχεται τὸ μάννα, ἀλλ' ἐρχομένοις ἔξω τῆς παρεμβολῆς, λέγω δὴ τοῦ σώματος, ἐν ᾧ ἀνεῖρκται ἡ ψυχή. Δεῖ γὰρ τὴν ψυχὴν μηκέτι εἶναι ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. Οὐδεὶς δὲ φορῶν τὴν εἰκόνα τοῦ χοϊκοῦ δύναται ἄρτον οὐρανοῦ φαγεῖν· διότι ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. Περὶ ἧς τροφῆς καὶ σὺ ἐδιδάχθης εὔχεσθαι. Ἐὰν νοῇς τὸν ἐπιούσιον ἄρτον, τὸν μὴ ἐκχωροῦντα, τὸν μὴ ὑποκρινόμενον, τὸν ἀναδιδόμενον εἰς τὴν οὐσίαν τῆς ψυχῆς, ὅταν διαλαμβάνω περὶ Θεοῦ, περὶ τῆς θεότητος αὐτοῦ, περὶ τῆς ἐν ἀνθρωπίνῳ σώματι καὶ ψυχῇ αὐτοῦ ἐνοικήσεως, ἄρτον ἀγγέλων ἐσθίω, τὸ μάννα, ὅπερ εὑρὼν καὶ θαυμάσας θαυμαστικῶς ἐρεῖς· Μάν; τί ἐστι τοῦτο; καὶ γενήσεται τοῦτο τὸ φθέγμα τῷ ἄρτῳ ὄνομα. Εὔξασθε, ἵνα ἡμῖν ὁ Θεὸς ἐπισιτισμὸν ἀποστείλῃ εἰς πλησμονὴν, οὐχ ὥστε γεύεσθαι μόνον, ἀλλὰ καὶ πληρωθῆναι τῶν λόγων τῆς ζωῆς, καὶ ἰσχυροποιηθῆναι ἐν αὐτοῖς. Πλὴν ἡ προηγουμένη τροφὴ αὐτή ἐστιν.

Ἐσθίοντες δέ ποτε τὸ μάννα Ἑβραῖοι, ἔλεγον· Οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν· ἐμνήσθημεν γὰρ ὅταν ἐκαθέσθημεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν ἐν Αἰγύπτῳ. Καὶ ἡμεῖς ταλανίζομεν ἐκείνους, ὡς τότε ἡμαρτηκότας, οὐχ ὁρῶντες ὅτι καὶ ἐν ἡμῖν ταῦτα τὰ ἁμαρτήματα γίνεται· ἀντὶ γὰρ τῆς πνευματικῆς τροφῆς τὰ πράσα, τὰ δυσώδη, καὶ τὰ κρόμυα, τὰ βλάπτοντα τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, καὶ τὰ πληροῦντα δυσώδη ἁμαρτήματα, σκόροδα ἐπιθυμοῦμεν φαγεῖν, καὶ ἐμφορηθῆναι ἡδονῶν δυσοδμίας. Καὶ τὴν ἔκλυτον τοῦ κόσμου καὶ τῶν σωματικῶν φύσιν ποθοῦντες, πεπόνων ἐπιθυμοῦμεν, καὶ τὸ ἀναδιδόμενον εἰς τὴν τῆς ψυχῆς οὐσίαν ἀνε-

que voluit temperabatur. » Similis vero est indoles sermonis qui animam nutrit, ut qui se juxta cujusque nutriendi facultatem communicat.

Si parvulum sermo cibaverit, lac efficitur; si animam imbecillem, olus; si perfectam, esca solida. Nobis vero manna non sedentibus venit, sed profectis extra castra, dico extra corpus, in quo anima arctata fuit. Necesse enim est ut anima minime in carne, sed in Spiritu sit. Nemo autem ferens imaginem hominis terreni, aptus est ad cœli panem edendum. Idcirco animalis homo non capit ea quæ sunt Spiritus »: quem cibum et tu edoctus es ut postules. Si noveris panem qui non transit, qui non fallit, qui datur in fovendam animæ substantiam, quoties ego dissero de Deo, de Christo, de ejus divinitate, ejusque incolatu in humano corpore et anima, panem angelorum manduco, manna; quo invento stuporeque stupefactus clamabis: « Man? Quid est hoc? et fiet hæc vox nomen panis. » Rogate, ut nobis Deus mittat frumenti annonam in satietatem, non modo ad gustandum, sed ut impleamur sermonibus vitæ, et ab eis robusti efficiamur. Etenim idipsum est memoratum supra pabulum.

Manna autem Hebraei manducantes, dicebant: « Nihil aliud oculi nostri nisi man respiciunt. Recordamur, quando sedebamus ad ollas carnium in Ægypto! » Nos autem eos miseros censemus, ut qui tunc deliquerunt, nec tamen ipsi considerantes etiam apud nos hæc fieri peccata. Nam pro spirituali cibo comedere concupiscimus porros graveolentes, et cæpas oculos animæ hebetantes, et alia quæ fetido odore implent peccata, ac voluptatum fetore inferciri volumus, et caducam mundi corporisque rerum naturam sectantes, pepones avemus; et repudiantes id quod conceditur in sub-

λόντες, σικύων θέλομεν μεταλαμβάνειν. Καὶ ἐπειδὴ οὐ θέλομεν τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ, οὗ προφῆται κήρυκες καὶ διάκονοι, νεφέλαι καλούμενοι, διὰ τὸ ὕψοῦ φέρεσθαι αὐτῶν τὸν νοῦν, καὶ διὰ τὸ ἐν τάξει νεφελῶν τοῖς νοητοῖς ὑετοῖς κατάρδειν ἑτέρους, ἐξαποστελεῖ ἡμῖν ὁ Θεὸς κρέας ὡσεὶ χοῦν, ἕως ἐξέλθῃ ἐκ τῶν μυκτηρίων ἡμῶν, καὶ ἕως πληρώσῃ ἡμᾶς νόσοις καὶ μαλακίαις, ὡς τὴν δυσώδη καὶ πολύδακρυν ἁμαρτίαν ἐπιζητοῦντας. Οἱ γὰρ τῶν κοσμικῶν πραγμάτων ἀπολαύοντες νοσοῦσι τὴν ψυχὴν διὰ ταῦτα, καὶ ἐν χολέρᾳ καὶ νόσῳ εἰσὶ καὶ πᾶσι κακοῖς διὰ τὴν διψυχίαν αὐτῶν.

stantiam animæ, cucumeres volumus comesse. Et quoniam nolumus panem qui de cœlo est, cujus prophetæ sunt præcones et ministri, qui nubes vocantur, quia sursum mens eorum fertur, et quod more et ordine nubium cæteros irrigant spiritualibus imbribus, Deus mittet nobis carnes ut pulverem, « donec a naribus nostris egrediantur, » et impleant nos morbo et languore, quasi putidum multisque dignum lacrymis peccatum quæramus. Qui enim mundanis rebus fruentes, ægrotant anima, propterea in vomitu et nausea sunt, et in omnibus malis, propter perplexi animi duplicitatem.

Ἀλλ' ἡμᾶς γένοιτο νηστεύειν νηστείαν δεκτήν, τὸ φρόνημα τῆς σαρκὸς μὴ τρέφοντας, μηδὲ γενοίμεθα ἐν ἀνύδρῳ στερήσει τῶν πνευματικῶν ὑδάτων, διὰ τὸ μηδὲν δρᾶν τῶν γλυκαινόντων τὴν τοῦ Ὑψίστου χρηστότητα· (γλυκαίνει δὲ αὐτὴν τὰ κατ' ἀρετὴν καὶ σοφίαν ἐνεργούμενα καὶ θεωρούμενα), μηδὲ ἐκπειράσαι μὲν αὐτὸν ἐν ταῖς καρδίαις ἡμῶν, ἤγουν οὐκ ἐξ ἐπιπολῆς, ἀλλ' ἐκ βάθους τοῦ ἡγεμονικοῦ ἀμφιβάλλοντες περὶ τῆς θείας δυνάμεως· μηδ' αἰτήσαιμεν βρώματα ταῖς ψυχαῖς ἡμῶν, οὐ ταῖς κατ' εἰκόνα λέγω, αἳ τρέφονται ἐκ τῶν τῆς ζωῆς ἄρτων, ἀλλὰ ταῖς εἰς σάρκα μεταβαλλούσαις, διὰ τὸ τοῖς ὑλικοῖς προσπεπονθέναι ὀρεγομέναις οὐκ ὠφελίμων καὶ ὑγιῶν τροφῶν, ἀλλ' ἡδειῶν καὶ νοσοποιῶν. Ἀλλ' ἑτοιμασθείη ἡμῖν τράπεζα, ἐφ' ἣν ἡ σοφία τὰ ἑαυτῆς θύματα ἐπιτιθήσει, καὶ τὸν ἑαυτῆς οἶνον εἰς κρατῆρα κιρνᾷ. Μηδὲ ὀργὴ ἐφ' ἡμᾶς ἀναβαίη, τὸ πνεῦμα τοῦ ἐξουσιάζοντος, τὸ ἀπατηλόν, τὸ δίκην προδρόμου ἢ κατασκόπου ἐκ τοῦ σκότους, ἐν ᾧ ἐπέκρυπτο, εἰς τὴν ψυχὴν ἀνιὸν διὰ τῆς ἐνθυμήσεως· μηδὲ ὡς πῦρ ἐξαφθείη ἐκ τῶν πεπυρωμένων βελῶν τοῦ ἐχθροῦ· ἀλλ' οὐρανοῦ θυρίδες ἡμῖν ἀνοίγειεν, αἱ τῶν νοητῶν καὶ πνευματικῶν ἐξαπλώσεις. Ἢ ἀρεταὶ πύλαι οὖσαι οὐρανοῦ, ὡς αἱ κακίαι ᾄδου καὶ θανάτου, αἵτινες οὐ

At faxit Deus, ut nos jejunemus acceptum jejunium, cogitatum carnis non nutrientes, neque stemus in loco inaquoso ex privatione aquarum spiritualium, ex eo quod nihil facimus quo Altissimi bonitas fiat dulcior. Dulciorem efficiunt quæcumque secundum virtutem aut actu exercemus aut speculatione meditamur. Utinam neque tentemus eum in cordibus nostris, id est non ex superficie, sed ex imo mentis cogitatu dubitantes de divina potentia; neque postulemus escas animabus nostris, non eas dico animas, quæ secundum imaginem sunt, quæ vitæ nutriuntur panibus, sed illas quæ vertuntur in carnem, propterea quod materiæ sensibus appetendæ addicuntur, non utilibus deditæ et sanis cibis, sed voluptuosis et morbos creantibus. Utinam vero nobis præparetur mensa, super quam « sapientia hostias ipsius imponit, et vinum suum in cratera miscet. »

Neque ira in nos ascendat, spiritus nempe potestatem habentis, seductor, qui præcursoris instar vel speculatoris, ex tenebris in quibus sese abdiderat, in animam irruit per impetum animi. Neque ceu ignis inflammetur ex ignitis jaculis inimici; sed fenestræ cœli nobis

κατισχύουσι τῶν κατὰ Πέτρον ἀνελθόντων ἐπὶ πύλας τῆς θυγατρὸς Σιών. Καὶ ὁ ἐν τῷ κρυπτῷ τῆς καρδίας ἄνθρωπος, ὁ κατ' εἰκόνα Θεοῦ, ὁμοέστιος καὶ ἀγγέλοις γένοιτο, τοῦ ἀληθινοῦ μάννα μεταλαμβάνων, καὶ ἀπ' οὐρανοῦ ἐσθίων τροφὴν, ἀλλ' οὐκ ἀπὸ τῆς ἐπικαταράτου γῆς, ἣν ὁ ἁμαρτάνων ἐν λύπαις ἐσθίει. Οἱ τούτων ἀκούοντες πτερούσθωσαν, ἐπαιρέσθωσαν, μηκέτι ἔστωσαν ἐν σαρκὶ, γενέστωσαν ἐν πνεύματι· οἱ γὰρ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. Ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἰτέον.

aperiantur, rerum nempe intellectualium et spiritualium explicationes. Aliter virtutes sunt portæ cœli, sicut et pravitates sunt portæ inferi et mortis, quæ non prævalent in eos qui cum Petro ascendunt ad portas filiæ Sion. Et homo qui est in abscondito cordis recessu, qui est ad imaginem Dei, conviva etiam angelorum fiat, verum sibi manna communicans, et de cœlo comedens escam, non autem de terra maledicta, quam qui peccat, in doloribus comedit. Qui hæc audiunt, sumant alas, in sublime ferantur, non amplius in carne stent, sed in spiritu. Qui enim in carne sunt, Deo placere non possunt. Sed ad historiam eundum.

Τράπεζαν ἐν ἐρήμῳ. Ἔρημον οὖσαν τὸ πρότερον τὴν ψυχὴν Ματθαίου τοῦ τελώνου ὁ Σωτὴρ ἡμῶν πεποίηκε τράπεζαν τρέφουσαν διὰ τοῦ εὐαγγελίου τὰς ψυχὰς τῶν ἀνθρώπων. Ἔρημος ἦν καὶ ἡ τοῦ Σαύλου διώκτου ψυχὴ, ἣν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν πεποίηκε τράπεζαν τρέφουσαν.

Mensam in deserto. Animam Matthæi publicani quæ prius deserta erat, in mensam Salvator noster convertit, quæ per evangelium enutrivit animas hominum. Deserta quoque erat primum anima Sauli persecutoris, quam Christus et Deus noster mutavit in mensam nutricem animarum.

v. 27. Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας, καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά.

Τὴν ὀρτυγομήτραν σάρκα ὠνόμασε. Ἐπαγάγεται αὐτοῖς πλῆθος, οὕτως ἦν πολυπληθής.

v. 27. *Et pluit super eos sicut pulverem carnes, et sicut arenam marium volucres pennatos.*

Coturnicem vocavit carnem; mittitur illis multitudo, adeo erat copia conferta.

v. 29, 30. Καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς, οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.

Τὸ ἀποτέλεσμα τῆς ἐπιθυμίας ἐπιθυμίαν ὠνόμασεν, ὃ προκυρῶσαι εἴποι τις τὸ ἐπιθυμητόν· τοιοῦτόν ἐστι καὶ τὸ παρὰ τῷ Παύλῳ λεγόμενον, τό· Ἡ ἐλπὶς οὐ καταισχύνει. Ἐνταῦθα γὰρ τὸ πέρας τῆς ἐλπίδος, ὅπερ ἐστὶν ἡ γνῶσις τοῦ Θεοῦ· αὐτὴν γὰρ ἐλπίδα ὠνόμασε.

v. 29, 30. *Et desiderium eorum attulit eis, neque fraudati sunt a desiderio eorum.*

Desiderii esse compotem, vocavit desiderium, quo impleto quis dici potest confirmari in voto suo. Simile est illud apud Paulum : « Spes non confundit. » Ibi enim spei est absolutio, quæ est scientia : hanc enim spem vocavit.

v. 31, 32. Καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν· ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι.

v. 31, 32. *Et electos Israel non impedivit. In omnibus his peccaverunt adhuc.*

v. 27. Laurent. Plut. VI, 3.
v. 29. Vat. 5, 6, 12. Rom. v, 5.

v. 31, 32, Vat. 2, 3, 7, 14. Laur. Plut. VI, 3.

Συμποδίζεται ὁ θεωρητικὸς μὴ ἐπιβάλλων ὡς δεῖ τῇ θεωρίᾳ τῶν γεγονότων. — Ἐκλεκτοὺς [λέγει] οὐ τοὺς ἐν ἀρεταῖς λογάδας, ἀλλὰ τοὺς ἐν κακίᾳ· εἰσὶ γάρ, εἰσί τινὲς καὶ ἐν πονηρίᾳ ἐξαίρετοι. — Ἐκλεκτικὸς ὢν καὶ κατηγορητικὸς τῆς Ἰουδαίων μοχθηρίας ὁ λόγος, καταρίθμησιν ποιεῖται τῶν πεπλημμελημένων αὐτοῖς, παριστῶν ὅτι μὴ μάτην αὐτοῖς τὰ ἐκ θείας ἐπῆλθεν ὀργῆς.

Impeditur vir contemplandi studiosus, quando non uti oportet, aggreditur creaturarum considerationem. — *Electos* vocat non eos qui in virtutibus selecti sunt, sed in malitia insignes. Sunt enim, sunt nonnulli qui in perversitate præcellunt. — *Electi* vox, quum discretiva sit et increpativa adversus Judæorum improbitatem, recensionem exigit eorum iniquitatum, urgens quod non frustra in illos irruerint iræ divinæ flagella.

v. 32, 33. Καὶ οὐκ ἐπίστευσαν τοῖς θαυμασίοις αὐτοῦ. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.

v. 32, 33. *Et non crediderunt in mirabilibus ejus. Et defecerunt in vanitate dies eorum, et anni eorum cum festinatione.*

Τῶν οὐχ ὡς δέον τοῖς καιροῖς χρωμένων αἱ ἡμέραι ἐν ματαιότητι ἐκλείπουσιν. — Ἁμαρτάνοντάς φησι τοὺς μὴ τῶν ὀφείλειν δυναμένων μηδεμίαν ποιουμένους πρόνοιαν. Τοῖς δὲ ματαίοις προστετηκότες ἐπιτηδεύμασι, καὶ μετὰ πάσης ταῦτα μετιόντες σπουδῆς, τὸν βίον ὑπεξῆλθον ἐν ματαιότητι, τὰς ἡμέρας καταναλίσκοντες, καὶ τὰ ἔτη παρατρέχοντες.

Eorum qui temporibus uti par est, non utuntur, dies in vanitate deficiunt. Peccare eos dicit, qui quum prodesse sibi possint, nullam habent præviam curam. Illi vero qui vanis sunt institutis imbuti, totoque animi studio his incubuere, vitam pertranseunt in vanitate, dies suos dissipantes, et annos cursu prætermittentes.

v. 34. Ὅταν ἀπέκτεινεν αὐτούς, ἐζήτουν αὐτόν· καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν.

v. 34. *Quum occideret eos, quaerebant eum; et revertebantur, et diluculo veniebant ad eum.*

[Παρελθούσης] ἐπιθυμίας τῆς ἀπάτης, τότε ὁ νέος ἐκζητεῖ, ὁ ἀνακαινόμενος κατὰ εἰκόνα τοῦ κτίσαντος. — [Ἀποκτέινει], ὅταν τὸν παλαιὸν ἄνθρωπον ὁ Θεὸς ἀποκτείνῃ, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. — Καὶ ἀποκτείνει ὁ Θεός, ἵνα ζητήσαντας ζωοποιήσῃ, καὶ ὅπως ἐπιστρέψαντες ὀρθρίσωσι πρὸς αὐτόν.

Transeunte erroris desiderio, tunc novus homo quaerit, qui secundum imaginem Creatoris renovatur. — Occidit Deus, quando veterem hominem exterminat, corruptum per desideria erroris. Et Deus occidit, ut quærentes eum vivificet, dum reversi ad eum mane exsurgunt.

v. 35. Καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι.

v. 35. *Et Deus altissimus redemptor eorum est.*

Καὶ ὁ Θεὸς ὁ ὕψιστος λέγεται, ὅσον οὕτως· Ὁ ὕψιστος ὑπερεμάχησεν αὐτοῖς.

Et Deus altissimus dicitur, ut in hoc loco: « Et Altissimus pro eis pugnavit. »

v. 36. Καὶ ἠγάπησεν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.

v. 36. *Et dilexerunt eum in ore suo, et lingua sua mentiti sunt ei.*

v. 33, Vat. 2.
v. 34. Vat. 2, 4, 6. Ephes. IV, 22.

v. 35, Vat. 5, 12. Frustra locum quæsivi.
v. 36. Vat. 5, 12, 14. Matth. XV, 8.

Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτοῦ πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ.

v. 37. Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ.

Μετὰ Θεοῦ οὖσα ἡ καρδία, εὐθεῖά ἐστιν. εὐθὺς γάρ ἐστι Κύριος ὁ Θεὸς ἡμῶν.

v. 38. Αὐτὸς δέ ἐστιν οἰκτίρμων, καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ, καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.

Ἀλλ' ὅμως αὐτὸς τῇ οἰκείᾳ χρώμενος ἀγαθότητι, οὐκ ἠνέσχετο αὐτοὺς παντελεῖ παραδοῦναι φθορᾷ. — Τοῖς ἔργοις δὲ μᾶλλον ἢ τοῖς λόγοις φαίνεται ὅτι ἐστὶν ὁ Θεὸς οἰκτίρμων· οὐδέποτε γὰρ κρατίστῃ τῇ ὀργῇ κατὰ τῶν ἀνθρώπων ἐχρήσατο, οἷον [ὅτε] κατακλυσμὸν ἐβουλεύσατο ποιῆσαι, πεντακοσιοστῷ ἔτει ἤρξατο κηρύσσειν ὅτι ἔσται ὁ κατακλυσμὸς, καὶ ἐποίησε τῷ Νῶε κατασκευάζειν τὴν κιβωτὸν ἔτεσιν ἑκατόν. Τί οὖν ἀλλὰ βούλεται διὰ τῶν ἑκατὸν ἐτῶν τῆς κατασκευῆς τῆς κιβωτοῦ ἢ ἐπιστρέψαι τοὺς ἀνθρώπους, ἵνα μὴ χρεία γίνηται τῆς κιβωτοῦ; Πάλιν φειδόμενος τῶν Αἰγυπτίων, ἀκρισι καὶ μυΐαις καὶ σκνιψὶν ἐκόλαζεν· ὅτε δὲ ἐπέμειναν τῇ ἁμαρτίᾳ, τὸν θάνατον τῶν πρωτοτόκων τὴν τελευταίαν ἐπήγαγε μάστιγα. Ἔτι λιμὸν ἔκρινε τοῖς Αἰγυπτίοις ποιῆσαι. Ποίησον, ὦ Θεὲ, τὸν λιμόν. Ἀξιοῖ γὰρ Αἰγυπτίους λιμῷ διαφθαρῆναι. Ἀλλ' οὐ βούλομαι, φησὶν, αὐτοὺς παντελῶς κολάσαι. Τί οὖν ποιῶ; οἰκονομῶ τὸν Ἰωσὴφ καταβῆναι ἀπὸ τῆς ἁγίας γῆς, καὶ συγχρῶμαι τῇ ἁμαρτίᾳ τῶν ἀδελφῶν αὐτοῦ, καὶ προφάσει ὀνείρων ποιῶ αὐτὸν ἐν τῇ φυλακῇ γνωσθῆναι. Οἰκονομῶ κρῖναι τὰ ὀνείρατα, πιστευθῆναι τὸν σῖτον συναγαγεῖν, ἵνα μὴ παντελῶς Αἴγυπτος λιμῷ διαφθαρῇ. Καὶ ὑπὲρ ἡμῶν δὲ ἐξ οὐρανῶν ἔπεμψε τὸν ἅγιον αὐτοῦ παῖδα, ὑπὲρ ἁμαρτωλῶν, ὑπὲρ κόσμου ἀπο-

« Hic populus labiis me honorat, cor autem ejus longe est a me. »

v. 37. *Cor autem eorum non erat rectum cum eo.*

Ubi cor manet cum Deo, rectum est. « Rectus enim est Dominus Deus noster.

v. 38. *Ipse autem est misericors, et propitius fiet peccatis eorum, et non disperdet eos. Et abundavit, ut averteret iram suam, et non omnem iram suam.*

Immo vero, sua usus benignitate, non sustinuit eos omnimodæ tradi perditioni. Magis vero operibus quam verbis ostenditur, Deûm esse misericordem. Nullatenus enim potentissimam iram in homines exercuit: exempli gratia, quando diluvium facere statuit, quinquagesimo ante anno incæpit nuntiare futurum esse cataclysmum, jussitque Noe fabricare arcam per centum annos. Ut quid autem voluit per centum annos arcam ædificari, nisi ut converteret homines, ne ullomodo arca opus esset? Rursus ut Ægyptiis parceret, eos per locustas et musculos et culices corripiebat. Ubi vero peccato institerunt, mortem primogenitorum uti extremum flagellum erogavit. Præterea famem censuit in Ægyptios inducere. Fac, o Deus, famem; æquum enim est Ægyptios esurie pessumdari. At nolo, inquit, eos internecione castigare. Quid ergo ago? Mea œconomia Joseph descendit e sacra terra, et provideo fratrum ejus peccato, et occasione somniorum procuro eum in carcere agnoscendum. Consulto per me fit ut somnia dicernantur, ut suadeatur colligere frumentum, ne funditus fame pereat Ægyptus. Atque propter nos misit de cœlis sanctum puerum suum pro peccatoribus, pro mundo mor-

v. 37. Vat. 2, 5. Laur. Plut. vi, 3. Ps. xxiv, 8.
v. 38. Vat. 2, 5. Idem Laur. Plut. vi, 3 et quidem solus ante ultimum scholiolum. Cf. Genes. vii, xli. In fine, ubi ambigua leguntur κατὰ τὴν ἀντιλογίαν τῶν ἐμῶν ξύλων, vir doctus suspicatur κατὰ τὴν ἀναλογίαν τῶν αἱμῶν, *respectu ad dumos?* Ludit lubenter Origenes cum igne, ligno, stipula et arundine.

θανούμενον. Καὶ μετὰ ταῦτα δὲ πάντα πάλιν ἁμαρτάνομεν, καὶ ἔστιν ὁ Θεὸς οἰκτίρμων. Ἀλλὰ καὶ αἱρέσεις γεγόνασι, καὶ κακολογοῦσι τὸν δημιουργὸν, καὶ μακροθυμεῖ λοιδορούμενος. Ἡμεῖς δὲ ἀγανακτοῦμεν οἱ ταλαίπωροι, ἐάν ποτε λοιδορήσῃ ἡμᾶς ὁ ἄνθρωπος, καὶ παραυτὰ ἡμᾶς ἐκδικοῦμεν. Ὁ δὲ Θεὸς οὐδὲ ἐκκαίει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. Ἔστι γὰρ πᾶσα ἡ ὀργὴ, καὶ φοβερὰ, καὶ ἐκκαίεται κατὰ τὴν ἀντιλογίαν τῶν ἐμῶν ξύλων, τὸν χόρτον τῆς καλάμης; Τάχα δὲ ἐνὶ μόνῳ ἐν τοῖς οὖσιν ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ, τῷ Διαβόλῳ.

v. 40-43. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ; καὶ ἐπέστρεψαν, καὶ ἐπείρασαν· τὸν Θεὸν, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν· οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ, ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος, ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.

Καὶ σὺ δὲ, ὁσάκις ἂν καταλιπὼν τὸν Θεὸν, ἐπὶ τὴν ἔρημον τοῦ Θεοῦ ἁμαρτίαν ἀπέλθῃς, παραπικραίνων ἐν τῇ ἐρήμῳ, ὁσάκις ἂν, πηγῆς ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον παρούσης σοι ἐν τῇ ἐκκλησίᾳ, ῥαθυμῶν περὶ τὰς συνάξεις, καὶ ἀμελῶν περὶ τοῦ ποτισθῆναι, ἀπέλθῃς ἐπὶ τὴν ἄνυδρον, παροργίζεις, καὶ ἐπιστρέψας ὡς εἰς Αἴγυπτον ἁμαρτίας ἣν καταλέλοιπας, πάλιν ἁμαρτάνεις, ὡς κύων ἐπιστρέψας ἐπὶ τὸν ἴδιον ἔμετον. Καὶ οὐκ ἀρκεῖ οἷς εἶδες σημείοις εἰς σωτηρίαν, οὐδὲ τοῖς προτρεψαμένοις λόγοις εἰς ἀρετὴν, ἀλλὰ καινὰ σημεῖα θέλεις ἰδεῖν, οὐ μεμνημένος τῆς ἐπεσκοπηκυίας χειρὸς, καὶ ὅπως ἐλυτρώθης ἐκ τοῦ νοητοῦ ἀληθῶς θλίβοντος Φαραὼ, οὐδὲ τὰ σημεῖα λογιζόμενος, ἃ ὡς ἐν Αἰγύπτῳ, τῷ κόσμῳ, ἐν σοὶ πεποίηκεν, οἷον ἐμοὶ ἕκαστον τῶν εὐεργημάτων τοῦ Θεοῦ σημεῖόν ἐστιν. Εἴ ποτε ἐν κινδύνοις ὁποίοις δήποτε γενόμενος ἐῤῥύσθην, σημεῖον ἔλαβον ἀπὸ Θεοῦ· ποσάκις ηὐξάμεθα, καὶ

v. 40-43. Laurent Plut. v, 14. Prov. xxvi, 11.

tuum. Et post hæc omnia nihilominus peccamus, et Deus est misericors. Quin immo surrexerunt hæreses, quæ Creatori maledicunt, et ille in longanimitate perseverat, injuria proscissus. Nos vero miserabiles ægre ferimus, si quis homo nos contumelia petierit, et statim ulciscimur. Deus vero minime omnem iram suam accendit: tota enim ira et tremenda num fit et succenditur propter mei contumaciam qui ligna sum, qui frutex sum arundinis? Fortasse adversus unum inter ea quæ sunt, in Diabolum, accendet omnem iram suam.

v. 40, 43. *Quoties exacerbaverunt eum in deserto, in iram concitaverunt eum in inaquoso? Et conversi sunt, et tentaverunt Deum, et sanctum Israel exacerbaverunt. Non sunt recordati manus ejus, diei qua redemit eos de manu tribulantis, sicut posuit in Ægypto signa sua, et prodigia sua in campo Taneos.*

Tu vero, quoties forte Deum deserens, ad peccatum Deo vacuum ivisti, exacerbans in eremo, quoties fonte aquæ salientis in vitam æternam tibi proposito, in ecclesia, desidia negligens synaxes, et parum curans potu refici, decessisti in locum inaquosum, provocas ad iram, et reversus in Ægyptum peccati, quod deserueras, iterum peccas, sicut canis ad vomitum suum reversus; nec satis est prodigiorum quæ vidisti ad salutem facta, neque sermonum quæ hortantur ad virtutem; sed nova videre vis miracula, non recordatus manus te protegentis, et quomodo redemptus fueris a spirituali Pharaone, te reapse opprimente, neque mente reputans signa, quæ sicut in Ægypto, in mundo, in te fecit: qualia signa sunt singula Dei in me beneficia; si quando in quibuscumque periculis versatus, liberatus fui, signum a Deo rece-

Nota solemnes veterum συνάξεις.

ἐλάβομεν ἅπερ ηὐξάμεθα, ταῦτα ἡμῖν σημεῖα.

v. 44. Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν.

Οἶδα κατὰ τροπολογίαν πολλοὺς ποταμοὺς Αἰγύπτου ἐναντίους Χριστῷ, τῷ ἀληθινῷ ποταμῷ, οὗ τὰ ὀμβρήματα τὴν ἐκκλησίαν εὐφραίνει· πάντα τὰ τῆς σωτηρίας ἀλλότρια ῥεύματα ὁ Θεὸς ὅταν βούληταί τινας ἐπιστρέψαι, ἵνα ἐξελθόντες πίωσιν ἀπὸ τῆς πέτρας (ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς) ποιεῖ στραφῆναι εἰς αἷμα: Ὅταν γὰρ ἐγὼ καταγνῶ ἀλλοτρίου ὕδατος, καὶ φρονήματος, τοῦ Θεοῦ μοι παραστήσαντος, ὅτι αἷμά ἐστιν, οὐκέτι πίνω, ἵνα μὴ μέτοχος γένωμαι αἵματος. Ὀμβρήματα δὲ εἶεν ἂν οἱ βραχέα μὲν λέγοντες, ὀλέθρια δέ. Κατὰ δὲ τὴν ἱστορίαν Αἰγύπτιοι ἄνωθεν ὕδωρ οὐκ ἔχουσιν, οὐδὲ γίνεται ὑετὸς ἐν Αἰγύπτῳ. Ἱστορικῶς μὲν οὖν πάσης τότε τῆς τῶν ὑδάτων φύσεως κατὰ τὴν Αἴγυπτον τῷ προστάγματι τοῦ Μωσέως εἰς αἷμα τραπείσης, ὡς καὶ τοὺς ἰχθύας, εἰς σαρκώδη παχύτητα τοῦ ὕδατος μετατεθέντος, διαφθαρῆναι, τοῖς Ἑβραίοις ἀρυομένοις αἷμα οὐκ ἦν. Ὅθεν ἔσχε καὶ ἡ μαγγανεία καιρὸν ἐν τῷ παρὰ Ἑβραίοις εὑρισκομένῳ ὕδατι, τὸ αἱματῶδες ὕδωρ παρασοφίσασθαι. Πνευματικῶς δὲ καὶ νῦν τὸ ἴσον ἔστιν ἰδεῖν γινόμενον. Τῶν γὰρ πρὸς τὰς ἐναντίας δόξας διεστηκότων τοῖς μὲν πότιμόν ἐστι καὶ διαφανὲς τὸ νᾶμα τῆς πίστεως, ὃ διὰ τῆς θείας διδασκαλίας ἀρύονται· τοῖς δὲ ἐκ τῆς πονηρᾶς ὑπολήψεως αἰγυπτιάζουσι διὰ φθορᾶς αἷμα τὸ ὕδωρ γίνεται. Καὶ πολλάκις ἐπιχειρεῖ ὁ παρασοφισμὸς τῆς ἀπάτης καὶ τὸ τῶν Ἰσραηλιτῶν ποτὸν τῷ μολυσμῷ τοῦ ψεύδους αἷμα ποιῆσαι, τουτέστι τὸν ἡμέτερον λόγον, καὶ ἡμῖν δεῖξαι, μὴ

pi. Quoties oravimus, et quæ postulavimus, recepimus, totidem nobis signa sunt.

v. 44. *Et convertit in sanguinem flumina eorum, et pluviales lymphas eorum, ut non bibant.*

Novi secundum tropologicum sensum multa esse flumina Ægypti contraria Christo, flumini vero, cujus cimbres Ecclesiam lætificant. At cuncta fluenta saluti contraria, Deus quando vult convertere, ut exeuntes bibant de petra (petra autem erat Christus), facit ut in sanguinem vertantur. Quando enim ego alienam damno aquam, sive cogitatum, Deo edocente me quod sanguis est, non amplius bibo, ne particeps sanguinis fiam. Cujusmodi sunt, qui pauca loquuntur, sed perniciosa. Porro secundum historiam, Ægyptii cœlitus aquam non habent, nec fit pluvia in Ægypto. Historice igitur, dum universa tunc aquarum natura per Ægyptum mandato Moysis in sanguinem versa est, usque adeo ut etiam pisces, in carneam crassitiem mutata aqua, interirent, Hebræis haurientibus, sanguis non erat. Quare etiam locum habuerunt præstigiæ magorum, ut ex aqua penes Hebræos inventa sanguineam aquam effingerent. Spirituali autem sensu nunc quoque licet videre id ipsum contingere. Ex iis enim qui contrariis opinionibus dividuntur, alii habent potui aptum ac pellucidum fidei fluentum, quod ex divina hauriunt didascalia. At iis qui per reprobam sententiam Ægyptiorum more agunt, in corrumpentem sanguinem evadit aqua: ac sæpe enititur sophistica erroris fallacia potum etiam Israeliticum mendacii inquina-

v. 44. Plut. v, 14. Huc redeunt codd. Veneti apud Gallandium cum novis nævis: οὗ τὰ ὀφμήματα... ἃ ὁ Θεός... ὅταν γὰρ ἐγῴ κατάγω οὓς ἀλλοτρίου (*sic*)... τοῦ Θεοῦ μὴ παραστήσαντος... αἵματος ὀμβρήματος, οἱ δὲ... διεφθορὸς αἷμα... οἷόν ἐστιν, quorum pleraque nihili sunt. Doctus, optimusque Gallandius jam obierat, quando posthumæ ejus schedæ Marcianæ prælo commissæ fuerunt. Redit tessera recantata Origenis, πέτρα ὁ Χριστός, ut Paulum recolat allegoriæ indulgentem, ex quo tamen loco Mopsuestenus ad Galatas invehitur in allegoristas.

τοιοῦτον ὄντα οἷός ἐστιν. Ἀλλ' οὐκ ἀχρειώσειε καθόλου τὸ ποτὸν, κἂν ἐκ τοῦ προχείρου δι' ἀπάτην περιφοινίξῃ τὸ εἶδος. Πίνει γὰρ ὁ Ἰσραηλίτης τὸ ἀληθινὸν ὕδωρ, οὐδὲ πρὸς τὸ εἶδος τῆς ἀπάτης ἐπιστρεφόμενος.

mento sanguinem efficere, id est sermonem nostrum, nobisque ostendere talem non esse qualis est. Sed prorsus inutilis potus non fiet, tametsi prima fronte per errorem aspectus ejus rubescat. Bibit enim Israelita veracem aquam, quin ullo se modo convertat ad erroris apparentiam.

v. 45. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτοὺς, καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς.

v. 45. *Misit in eos cynomyam, et comedit eos, et ranam, et disperdidit eos.*

Ἐντεῦθεν εἰλήφθη τῷ γράψαντι τὴν ἐπιγεγραμμένην Σολομῶντι Σοφίαν, ὅτι τοὺς Αἰγυπτίους ἀκρίδων καὶ μυιῶν ἀπέκτεινε δήγματα. Οὐ γὰρ χρεία πολλῶν πολεμίων, οὐδὲ μεγάλης δυνάμεως ἀναιρούσης αὐτοὺς, ἀλλ' ἀπέθνησκον ὑπὸ κυνομυΐας καὶ βατράχων δακνόμενοι· τοῦτο γὰρ δηλοῖ τό· κατέφαγεν αὐτούς· ἵνα δὲ παριστήσῃ ὁ λόγος τὸ ὁ ἀναιδὲς τῆς κατὰ τὴν κυνόμυιαν μάστιγος, δύο ἀναιδῆ ζῷα συνέλαβε καὶ ὁμοῦ ὠνόμασε. Σὺ δὲ ἐπισήμηναι ὅτι τὸν περὶ τῶν Αἰγυπτίων μαστίγων λόγον ἐν δυσὶ ψαλμοῖς ἐπιτεμνόμενος ὁ Δαυὶδ, τῷ τε ἑβδομηκοστῷ ἑβδόμῳ, οὗ ἔτι ἐν χερσὶ τὰς λέξεις ἔχομεν, καὶ τῷ ἑκατοστῷ τετάρτῳ, οὐ κατὰ τάξιν ἐξέθετο ταύτας, οὔτε πάσας ὠνόμασε. Τὴν τρίτην γοῦν ἐνταῦθα καὶ τὴν ἕκτην καὶ τὴν ἐνάτην ἀπεσιώπησε μάστιγα, τουτέστι τοὺς σκνίπας, τὰς φλυκταίνας καὶ τὸ σκότος· ἀντὶ δὲ τούτων ἐρυσίβην εἶπε καὶ πάχνην· ἀνθ' ὧν μυσίτην ἢ βροῦχον καὶ σκώληκα ἢ κρύος οἱ λοιποὶ ἡρμήνευσαν. Ἐρυσίβη δέ ἐστι κατὰ μέν τινας, ἡ κονιορτώδης φθορὰ τοῦ σίτου, ἢ τὸ ἐπικάθιζον τοῖς καρποῖς παχνῶδες καὶ διαφθεῖρον αὐτούς. Κατὰ δέ τινας, ἀκρίδος γένος μικρὸν καὶ εὐτελὲς, ἀνθ' οὗ βροῦχον Ἀκύλας ἐκδέδωκε. Καί μοι μάστιγας Αἰγυπτίων εὐεργεσίαις Ἑβραίων συγκρίνων, θαύμαζε ὅτι Αἰγύπτιοι μὲν παρὰ τῷ ποταμῷ διψῶσιν, Ἑβραῖοι δὲ ἐν τῇ ἐρήμῳ εὐποροῦσιν ὕδατος. Ἔπινον γὰρ ἐκ πνευματικῆς

Inde receptum est apud scriptorem Sapientiæ, quæ Salomoni ascribitur, Ægyptios locustarum et murum morsibus interemptos fuisse. Non enim Deus indiget multis hostium agminibus neque ingenti virtute ad excidendos eos, sed ceciderunt morsibus cynomyiæ et ranarum: quod significant verba: *et comedit eos.* Unde vero præ se sermo ferat ignominiam flagelli per cynomyiam impacti, duo turpia animalia sumpsit ac simul appellavit. Tu vero animadverte quod Ægyptiorum plagas David perstringens in duobus psalmis, in hoc septuagesimo psalmo, cujus præ manibus lectiones tenemus, et in centesimo quarto, haud juxta ordinem recensuit plagas, neque omnes nominavit. In hoc igitur loco tertiam et sextam et nonam silentio prætermisit, scilicet culices, pustulas et tenebras. Sed horum loco allegavit rubiginem et pruinam. Pro quibus alii interpretes vertunt μυσίτην vel bruchum, et vermem vel gelu. Rubigo autem est, juxta quosdam quidem pulverea putredo frumenti, vel succrescentes fructibus callositates, quæ eos corrumpunt. Alios vero juxta, genus quoddam est locustarum exiguum et contemptibile, pro quo Aquila Bruchum edidit. Tu vero mihi conferens plagas Ægyptiorum cum Hebræorum beneficiis, mirare

v. 45. Vat. 3, 12. Laurent. Plut. v, 14. Sapient. XVI, 9. — De Brucho vel μυσίτη (al. μυζίτη. μυξίτη) cf. Theodor. Heracl. apud Corder. II, 625 et Euseb. in h. l. Field. II, 228.

ἀκολουθούσης πέτρας· καὶ οἱ μὲν κατεσθίονται καὶ διαφθείρονται ὑπὸ κυνομυίας καὶ βατράχων, ζώων εὐτελεστάτων· τοὺς δὲ υἱοὺς τοῦ Θεοῦ οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες· οἱ γὰρ ἀλλότριοι τοῦ Θεοῦ καὶ παρὰ τοῖς νομιζομένοις ἄποροί εἰσι καὶ ὑπὸ τῶν τυχόντων διαφθείρονται. Ἐὰν δέ τις ᾖ ἅγιος καὶ ἐν ἀπόροις, οὐκ ἀπορεῖ καὶ ὑπὸ τῶν χαλεποτάτων καὶ βλάπτεται, λαβὼν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Ταῦτα, ἐπεὶ εἷς ἦν Θεὸς εὐαγγελίου καὶ νόμου, γεγένηται, καὶ τότε καὶ δράκοντες ἐπαναστάντες τῷ λαῷ, τοῖς ἡμαρτηκόσιν, οἷς ἡ ἀνδραποδώδης τῶν ἐδωδίμων ἐδωδὴ τὴν ἐπιθυμίαν τῆς γαστριμαργίας ἐπήγειρε, καὶ τὸν Αἰγύπτον κόρον ὠνειροπόλει, καίτοι τῶν ἀναγκαίων οὐδενὸς ὑστερούμενοις) ὅτε μετανόησαν, οὐδὲν αὐτοὺς βλάψαι δεδύνηνται.

quomodo Ægyptii ad fluminis ripas sitiant, Hebræi vero in deserto aqua abundent. Bibebant enim de spirituali petra consequente eos. Et illi devorantur et consumuntur a cynomyia et ranis, bestiis vilissimis, filios autem Dei ne venenosorum quidem draconum dentes superaverunt; illi quippe adversarii Dei vel inexpectatis patent discriminibus, et obviis rebus dissipantur. Si quis vero sanctus sit, verseturque in angustiis, non angitur vel sub asperrimis curis, neque affligitur, habens potestatem calcandi super serpentes et scorpiones. Hæc facta sunt, quum unus esset Deus Evangelii et Legis, etiamque tunc dracones insurgentes in populum, scilicet in eos qui peccaverant, in quibus inverecunda ciborum comestio ingessit gulæ concupiscentiam, ac somnii instar revocavit lautam in Ægypto satietatem, nulla licet re necessaria egerent; ubi eos pœnituit, serpentes eis nocere nequibant.

v. 46. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν.

Καὶ τὸν μὲν Αἰγύπτιον καρπὸν δέδωκεν ὁ Θεὸς τῇ ἐρυσίβῃ· ὁ δὲ δίκαιος ἔσται ὡς ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων.

v. 46. *Et dedit ærucae fructus eorum.*

Equidem Deus erucæ dedit fructum Ægypti; justus autem erit « sicut lignum plantatum secus decursus aquarum ».

v. 48-51. Καὶ παρέδωκεν ἐν χαλάζῃ τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. Ἐξαπόστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ οργὴν καὶ θλίψιν, ἀποστολὴν δι' αγγέλων πονηρῶν· ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν Αἰγύπτῳ, ἀπαρχὴν πόνων αὐτῶν, ἐν τοῖς σκηνώμασι Χάμ.

Κατὰ δὲ τροπολογίαν, ἀναιρεῖ τὰς ἁμαρτωλὰς ψυχὰς ὁ Θεός, ἐπαγαγὼν αὐταῖς τὸν

v. 48-51. *Et tradidit grandini jumenta eorum, et possessionem eorum igni. Misit in eos iram indignationis suæ, indignationem et iram et tribulationem, immissionem per angelos malos. Viam fecit semitæ iræ suæ, non pepercit a morte animabus eorum, et jumenta eorum in morte conclusit. Et percussit omne primogenitum in Ægypto, primitias omnis laboris eorum, in tabernaculis Cham.*

Juxta figurarum disciplinam, Deus tollit peccatrices animas, dum inducit

v. 46. Vat. 3. Ps. 1, 3.

v. 48-51. Vat. 5, 16. Laur. Plut. v, 14. Plut. vi, 3. De Marcione Polycarpi nota vox, a Joannis dicto contra Cerinthum oriunda, in fine videtur memorari. — Paulo post notatu dignissima est vox nova παταγμὸς juxta classicam normam orta a πατάσσω, quæ tamen omnibus in lexicis hactenus desideratur.

ἐπὶ καταλύσει τῆς μοχθηρᾶς ζωῆς θάνατον, ἵνα ζῆν ποιήσῃ, καὶ συγκλείει τὰς ἀλόγους αὐτῶν δυνάμεις, κτήνη λεγομένας, εἰς τοῦτον τὸν θάνατον· ὥστε ἀποβαλεῖν τὴν φαύλην ζωὴν, καὶ τὴν ἐμπαθῆ κίνησιν. Ὥσπερ δὲ οἱ πρωτότοκοι τὰ διπλᾶ κληρονομοῦσι, καὶ πλείονα τιμὴν ἔχουσι παρὰ τοῖς γονεῦσι, και εἰσὶ πρωτότοκοι Θεοῦ οἱ ἀπογεγραμμένοι ἐν οὐρανῷ, τὸν αὐτὸν τρόπον καὶ οἱ τῶν Αἰγυπτίων πρωτότοκοι διπλῆν τὴν κόλασιν κληρονομοῦσι. Καὶ εἴη ἂν πρωτότοκος τῷ διαβόλῳ ὁ πρῶτος αὐτῷ γεννηθεὶς ἐν δόγματι ἀλλοτρίῳ σωτηρίας, οἷον Μαρκιωνισταὶ οὐκ εἰσι πρωτότοκοι, ἀλλὰ Μαρκίων.

illis mortem, dissolvendo ærumnosam vitam, ut vivere faciat, atque illiberales earum facultates, jumenta dictas, concludit in mortem: ita ut rejiciat protervam vitam immoderatumque motum. Sicut autem primogeniti duplicem hæreditatis partem sortiuntur, majoremque honorem habent a genitoribus, etiamque Dei sunt primogeniti qui in cœlo ascribuntur, eodem modo Ægyptiorum primogeniti duplo gravius, quasi jure hæreditatis, plectuntur. Quin forte primogenitus Diaboli erit primus illi genitus in doctrina saluti infensa, qualiter non Marcionistæ sunt primogeniti, sed Marcion.

Καὶ ὥσπερ ἡ ἀπαρχὴ τῶν ἁγίων ἀνάκειται τῷ Θεῷ, οὕτως ἡ τῶν Αἰγυπτίων τῷ παταγμῷ, ἵνα μετὰ τὴν ἀπαρχὴν τότε κολασθῇ καὶ τὰ λοιπὰ τῆς ἀπαρχῆς. Κατὰ μέντοι τὴν ἱστορίαν, ἡ δεκάτη πληγὴ τοῖς Αἰγυπτίοις ἐπαχθεῖσα, θάνατος ἦν τῶν παρ' αὐτοῖς πρωτοτόκων, ἀπὸ ἀνθρώπων ἕως κτήνους, καὶ ἴσως ἐπὶ μὲν τῶν ἀνθρώπων τῶν πρῶτον τεχθέντων, κυριολεκτοῦσαν εὗρεν ὁ Δαυὶδ τὴν πρωτότοκον φωνήν· ἐπὶ δὲ τῶν ἀλόγων ζώων ἀπαρχὴν πόνου τὰ πρωτότοκα εἶπε· ταῦτα γὰρ τοῖς ζωοτροφοῦσιν ἀπαρχὴ πόνου γίνεται. Ἀνῃρέθη δὲ τὰ μὲν τῶν ἀλόγων πρωτότοκα, ὅπως ζημίᾳ ὑποπέσωσιν οἱ κεκτημένοι· τὰ δὲ τῶν ἀνθρώπων ἐπὶ τῷ πειραθῆναι συμφορᾶς τοὺς τοιούτους γονέας· ἃ ἤτοι ἐπιτιμίαν ἔσχον τὸ θανεῖν τῶν ἰδίων ἁμαρτιῶν. Ἢ οὐδὲν ἐβλάπησαν, καὶ παιδεύσεως ἄλλων ἕνεκα τεθνήκασιν· ἀδιάφορον γὰρ τὸ τεθνάναι, καὶ τὸ ἐξ ἀνάγκης συμβαῖνον. Πρὸς δ' ἀλήθειαν ἀνεξερεύνητα τὰ κρίματα τοῦ Θεοῦ.

Et quemadmodum primitiæ sanctorum Deo dicantur, ita percussioni primitiæ Ægyptiorum, adeo ut calcatis primitiis, etiam reliqua post eas puniantur.

Quoad autem historiam, decima plaga Ægyptiis impacta, interitus erat eorum primogenitorum ab hominibus usque ad pecora. Ac fortasse, quod spectat ad hominum primogenitos, David repperit uti propriam hanc vocem *primogenitus;* quod vero pertinet ad rationabilia animalia, usurpavit *primitias laboris.* Ea quippe sunt apud alumnos pecorum *primitiæ* laboris. Sublata autem sunt jumentorum primogenita, ut mulctæ subjicerentur possessores; primogeniti autem hominum, ut hujusmodi parentes calamitates experirentur: qui primogeniti aut in pœnam suorum peccatorum mortem subiere, aut si innocui fuerint, obierunt ad caeteros castigandum. Par enim est mori, et quod ex necessitate contigit. Re quidem vera inscrutabilia sunt judicia Dei.

Κατὰ δὲ ἀναγωγὴν, ἐπεὶ πνευματικῶς Αἴγυπτος καλεῖται πᾶς ὁ περὶ γῆν τόπος, οἱ ἐν τούτῳ διατρίβοντες Αἰγύπτιοι προσαγορεύονται. Χάριτι οὖν Θεοῦ τούτων τῶν Αἰγυπτίων τὰ πρῶτα γεννήματα τῆς ψυχῆς αὐτῶν

Quantum autem ad sublimiorem sensum, quum spiritualiter vocitetur Ægyptus quicumque terræ locus, qui ibi degunt, Ægyptii appellantur. Gratia igitur Dei eripitur horum Ægyptiorum prima

ἀναιρεῖται, ἄνοια καὶ κακία τυγχάνονται. Πρὸ γὰρ τῶν ἀρετῶν καὶ ἐπιστημῶν, τῶν ὀφελίμων τέκνων, τῶν διανοιῶν κακία καὶ ἄγνοια ὑφίσταται. Ἀλλὰ καὶ παντὰ τῷ κατὰ τέχνην ἢ ἐπιστήμην ἐνεργοῦντι, οὐκ εὐθὺς τὸ εὖ ποιῆσαν παραγίνεται, ἀλλὰ μετὰ τὸ ἀνεπιλήπτως εὐεργῆσαι. Ἀναιρεῖται οὖν εἰκότως ἀπαρχὴ παντὸς πόνου ὡς φαύλη, ὅτι δὲ περὶ ψυχῶν τὰ λεγόμενα σώμασι συμπεπλεγμένων, δῆλον ἀπὸ τοῦ προσκεῖσθαι ἐν τοῖς σκηνώμασι· σκηνώματα γὰρ ψυχῶν σώματα. Πονηρὸν ἐνταῦθα τὸν ἐπίπονον ἄγγελον καὶ πονηρὸν εἶπεν, οὐ τῇ κακίᾳ πεποιουμένον, ἀλλὰ τοὺς πόνους καὶ ὠδύνας ἐνεργοῦντα. — Ἀπαρχὴν εἴρηκε πόνων τὴν πληγὴν τὴν ἐπὶ τοῖς πρωτοτόκοις, οὐχ ἐπειδὴ πρῶτον ἐπ' αὐτοῖς ἤλγησαν, ἀλλ' ἐπειδὴ μείζονος ταύτης συμφορᾶς οὐκ ἀπέλαυσαν. Τὸ αἴτιον τῷ αἰτιατῷ ὁμωνύμως ἐκλήθη· τὸ γὰρ ἀποτέλεσμα τοῦ θυμοῦ καὶ αὐτὸς θυμὸς εἴρηται, καὶ τὸ ἀποτέλεσμα τῆς ὀργῆς, ὀργή· καὶ τὸ ἀποτέλεσμα τῶν πόνων καὶ αὐτὸς πόνος λέγεται, καὶ ἐπὶ τῆς ἐλπίδος ὡσαύτως.

soboles, nempe si ignorantia et malitia succedunt. In locum enim virtutum et scientiarum, quæ sunt proficui filii, substituuntur cogitationum malitia et ignorantia. Ei vero, qui artem aut disciplinam exercet, non semper omnia cito procedunt, ut bene opus agatur, sed postquam sine reprehensione opus bene actum est. Tolluntur ergo opportune primitiæ cujuscumque laboris uti minus bonæ. Quod vero prædicta sint de animabus quæ sunt corporibus copulatæ, palam est ex verbo addito *in tabernaculis*. Animarum enim tabernacula sunt corpora. Hic vero dixit angelum noxium et pravum, minime in malitia creatum, sed laborum et ærumnarum opificem.

Primitias censuit laborum plagam in primogenitis irrogatam, non ideo quod prima fuit in eorum doloribus, sed quod majorem illa calamitatem non experti sunt. Causa pro causæ effectu homonyma sumitur: effectus enim iræ, et ipsa ira est: et indignatio opere consummata, indignatio est. Et laborum fructus, labor ipse dicitur, et de spe similiter.

v. 52. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ἤγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.

Ἐγὼ μέντοι εὑρίσκων γεγραμμένον ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, πάλαι μὲν ὑπελάμβανον τοῦτω γεγονέναι κατὰ σύγχυσιν τῶν γλωσσῶν· σκοπῶν δὲ ὕστερον, εὕρισκον μὴ δύνασθαι τοῦτο πρὸ τῆς γενέσεως τοῦ Ἰακὼβ ἐπ' ἐκεῖνον τὸν χρόνον ἀναφέρεσθαι, ἐξέβη δὲ ἡνίκα Ἰουδαῖοι ἐξῆλθον ἐκ γῆς Αἰγύπτου, τότε πρῶτον ἐχρημάτισε μερὶς Θεοῦ ὁ Ἰακὼβ, τουτέστιν ὁ ἐξ Ἰακὼβ λαός. Ἀλλ' ὅπερ ἐλέγομεν, τότε λαὸς Θεοῦ ὁ Ἰσραὴλ ἐχρημάτισεν, ὅτε τῆς Αἰγύπτου ἐξῆλθε, καὶ ὅτε μὲν ἦσαν ἐν Αἰγύπτῳ, οὔπω ἦσαν ἀγέλη διεσκεδασμένοι ἐν αὐτῇ, διὸ ὡς

v. 52. *Et abstulit sicut oves populum suum, et perduxit eos tamquam gregem in deserto.*

Interim ego scriptum reperiens quod quum dispertitus est Deus gentes, facta est pars Domini populus ejus Jacob, intellexi, id quidem olim factum fuisse in confusione linguarum, sed ulterius introspiciens, detexi, fieri id non potuisse ante ortum Jacob, et ad illud tempus referri, quando Judæi e terra Ægypti exierunt, tunc primum vocatus est Jacob pars Dei, id est populus ex Jacob ortus. Sed quod dicebamus: tunc populus Dei Israel nuncupatus est, quando ab Aegypto exivit, in quo erant oves palabundæ per hos agros, ideo illos *ut a-*

v. 52. Laurent. Plut. v, 14. Cf. Deut xxxii, 9. 1 Cor. xv, 27, Ps, cxl, 7.

πρόβατα αὐτοὺς ἀπαίρει Θεός· ἡνίκα δὲ συνάγει αὐτοὺς καὶ ποιεῖ ἕν, ἀπαίρων πρότερον ἀπὸ παντὸς τοῦ κόσμου τὸν λαὸν αὐτοῦ, εἶτα ἀνάγων διὰ τῆς πολιτείας τῆς ἄνω φερούσης, καὶ ποιῶν ἄνω φέρεσθαι, καὶ ἐπὶ τὰ ἀνώτερα ὁδεύειν, ὅπερ οὐχ οἷόν τε ἦν αὐτοὺς ποιεῖν ἐν γῇ Αἰγύπτῳ, τότε ἑνώσας αὐτοὺς ποιεῖ ποίμνιον ἕν. Καὶ ἡμεῖς τοίνυν ὅσον ἐπὶ τὸ αὐτὸ συναγόμεθα, τηροῦμεν τότε ποίμνης μυστήριον· ὅτε δὲ ἀμελοῦμεν τῶν συνάξεων, μιμούμεθα τὰ ἀποσκιρτῶντα καὶ ἀπαιτήσσοντα τοῦ ποιμνίου πρόβατα, καὶ δύνανται καθ' ἡμῶν τῶν διασκεδασθέντων οἱ ἐχθροὶ καὶ τὰ θηρία τὰ ἐνεδρεύοντα, οἱ λύκοι, ὡς μανθάνομεν ἀπὸ τῶν ποιμνικῶν. Ἐάν ποτε ἐπιτιθῶνται ποίμνῃ, οὐ δύνανται ἐπιτίθεσθαι αὐτῇ συναχθείσῃ, ἀλλ' ἐπιτηροῦσί που πρόβατον ἀπονεμόμενον, κἀκείνῳ ἐπιβουλεύουσιν. Εἴπερ οὖν καὶ ἡμεῖς βουλόμεθα μὴ ἐπιβουλεύεσθαι ὑπὸ τῶν ἀντικειμένων δυνάμεων, μὴ καταλείπωμεν τὴν συναγωγήν, ἀλλὰ συνερχώμεθα ἐπὶ τὸ αὐτὸ, τιμῶντες τὴν τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν ἡμέραν, ἵνα συναχθῇ ὀστοῦν Χριστοῦ πρὸς ὀστοῦν, καὶ ἁρμονία, καὶ φλέβες, καὶ νεῦρα, καὶ δέρμα, ἤδη δὲ καὶ αἱ τρίχες. Ἢ οὐκ οἴδατε ὅτι σῶμα τοῦ Χριστοῦ ἐστὲ, καὶ ἀναγκαῖον τοῦτο συνάγεσθαι, ἵνα μὴ λέγῃ περὶ ἡμῶν Χριστός· Διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου;

v. 54. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.

Κατὰ δὲ ἀναγωγήν, ὄρος ἁγιάσματος ἡ διῃρμένη καὶ ὑψηλοτάτη ἀρετὴ καὶ γνῶσις· εἰς ἣν γνησίως εἰσάγει ὁ μόνος τέλειος διδάσκαλος Ἰησοῦς, οὗ κτῆμα πᾶσα ἀρίστη γνῶσις καὶ θεωρητικὴ τῆς ἀληθείας ἕξις. Ὅθεν καὶ οἱ ταύτας τὰς διαθήκας κτώμενοι, κτήματα Θεοῦ καλοῦνται.

v. 55. Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.

gnos aufert Deus; quum vero congregat eos, et in unum facit, auferens primum plebem suam ab universo mundo, deinde evehens eam per vitæ institutum ad superna ferens, curansque eos in sublime tolli et ad superiora progredi, quod penes eos non erat facile in terra Ægypti, tunc in unum eos cogens, facit unum ovile. Nos autem, quantumque in unum congregamur, tantumdem servamus ovilis mysterium; quum vero synaxes negligenter colimus, imitamur oves quæ ab ovili resiliunt et recedunt, atque in nos dispersos invalescunt inimici atque feræ et lupi insidiantes, uti didicimus a gregum ductoribus. Si forte ovile invadunt, nequeunt gregem collectum superare; sed studiose inquirunt ovem errantem, eique insidias parant. Si ergo nos quoque nolumus insidiose capi ab adversariis potestatibus, caveamus ne cœtum Ecclesiæ deseramus, sed concurramus in unum, formidantes diem resurrectionis Domini nostri, ut Christi colligatur os ad os, et compago, et venæ, et nervi, et pellis, immo etiam capilli. An nescitis quia corpus Christi estis, et necesse est coagmentetur, ne de nobis Christus dicat: « Dissipata sunt omnia ossa mea? »

v. 54. *Et induxit eos in montem sanctificationis suæ, montem quem acquisivit dextera ejus.*

Sublimiori sensu, mons sanctificationis est distincta et excelsissima virtus et scientia: in quam scite inducit solus perfectus magister Jesus, cujus acquisitio est quæcumque præstantissima agnitio et contemplativa veritatis possessio; unde et hi qui hujusmodi dispositiones adepti sunt, acquisitiones Dei vocantur.

v. 55. *Et habitare fecit in tabernaculo eorum tribus Israel.*

v, 54-55. Laurent. Plut. v, 14.

Κατεσκήνωσε τὰ ἔθνη πιστεύσαντα εἰς τὸν Χριστὸν, καὶ εἰσήγαγεν αὐτούς.

v. 61. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρα ἐχθροῦ.

Τοῦ σκηνώματος τὴν καλλονὴν τὴν κιβωτόν φησι.

v. 65. Καὶ ἐξηγέρη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου.

Ὁ δυνατὸς, καρηβαρήσας ἐξ οἴνου, ὅταν ἀναστῇ, σφοδρότερον κινεῖται καὶ ὁρμητικώτερον· οὕτω, φησὶ, καὶ ὁ Θεὸς ἀνέστη κατὰ τῶν ἀλλοφύλων. Πλὴν καθάπερ ἡ κραιπάλη, τουτέστιν ἡ μέθη, ἐπείσακτον πάθος ἐστὶν, οὐκ ἔμφυτον, οὕτως ἡ ὀργὴ πάθος οὐκ ἔστι Θεοῦ, ἀλλὰ τιμωρία δίκαία τοῖς πλημμελοῦσιν ἐπαγομένη. Μηδέποτε οὖν ἀναγινώσκων περὶ Θεοῦ ταῦτα τὰ ἀνθρωποπρεπῆ, ὑπολάμβανε τὸν Θεὸν ἐν πάθει εἶναι· ἀπαθὴς γάρ ἐστι παντὶ τρόπῳ. Ὁ δὲ ἁμαρτάνων ἐκκαίει ἑαυτῷ ὀργήν. Εἰ ἐγὼ εἶπον τὸν Θεὸν ὡς κεκραιπαληκώτα ἐξ οἴνου ἀναστήσασθαι, τίς οὐκ ἂν ἐπελάβετό μου τῶν φιλαιτίων, λέγων ὅτι μέθην καὶ κραιπάλην φέρεις ἐπὶ τὸν Θεὸν, ἄνθρωπος διδασκόμενος ὅτι οὐδὲ ἄνθρωποι μέθυσοι βασιλείαν Θεοῦ κληρονομήσουσιν; Ἀλλ' ὅμως τὸ ἅγιον Πνεῦμα, ἐν τῇ ἐλευθέρᾳ τοῦ λέγειν ἐξουσίᾳ τυγχάνον, εἶπε τὸν Θεὸν διανίστασθαί ποτε ὡς δυνατὸν, καὶ κεκραπαληκότα ἐξ οἴνου. Τάχα γὰρ οἱονεὶ ἡμεῖς καρηβαροῦμεν, καὶ μεθύειν ποιοῦμεν τὸν Θεὸν, ὡς καθεύδειν, ὡς ὀργίζεσθαι, ὡς τὰ λοιπὰ, ἃ μὴν ἐφ' ἡμῖν. Ἀλλὰ γένηται, ὡς καὶ κεκραιπαληκώς. Ἀλλ' ἐὰν ἐπιστρέψωμεν, καὶ γινώμεθα εὔφρονες, ἐγείρεται. Καὶ τί ποιεῖ;

v. 66. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ, εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.

Πατάσσει εἰς τὰ ὀπίσω τοὺς ἐχθρούς. Οἱ

Inhabitare fecit gentes Christo fideles et introduxit eas.

v. 61. *Et tradidit in captivitatem virtutem eorum, et pulchritudinem eorum in manum inimici.*

Pulchritudinem tabernaculi de arca intellexit.

v. 65. *Et excitatus est tamquam dormiens Dominus, tamquam potens crapulatus a vino.*

Potens, a vino capite nutans, quando surrexit, vehementius movetur et ferociori impetu. Ita etiam Deus, ait, surrexit adversus alienigenas. Verumtamen quemadmodum crapula, id est ebrietas, adDititia est passio, non indita, ita ira non est Dei propria propensio, sed justa punitio a peccatoribus invecta. Minime ergo in Deo legens similes hominum habitus, suppone Deum aliquid esse passum. Sane quocumque pacto patiendi expers est. At qui peccat, sibimet accendit iram. Si ego dixerim Deum esse crapulatum, quis eorum res scrutantium me non objurgaverit, aiens: tu ebrietatem et crapulam in Deum infers, edoctus homo qui fueris, quod ebriosi non hæreditabunt regnum Dei? Verumtamen sacer Spiritus, suam usurpans libere loquendi potentiam, dixit Deum insurgere aliquando ut potentem et ex vino crapulatum. Forte an qualiter nos caput movemus, etiam facimus Deum inebriari, ut dormiat, ut irascatur, uti cætera quæ nostra sunt. Verum esto ut etiam quasi crapulatus fiat; attamen si revertimur, et sanam habemus mentem, suscitatur. Et quid facit?

v. 66. *Et percussit inimicos suos in posteriora, opprobrium sempiternum dedit eis.*

Percutit in posteriora: qui enim in

v. 61. Vat. 5. Huc respexit Didymus apud Corder.

v. 65. Vat. 2. 5, 7, 14. II. Cor. vi, 16. Ultima transierunt verbo tenus ad vulgatum Athanas. in psalm. et apud Corder. II, 645.

66. Vat. 5, 14.

γὰρ κατενώπιον βλέποντες τοῦ Θεοῦ, καὶ παριστάμενοι αὐτῷ, οὐ πατάσσονται, ἀλλ' ὅταν τις φύγῃ τὸν Θεὸν, τότε πατάσσεται, καὶ μὲν ἀναίσθητος ὢν τῶν οἰκείων ἁμαρτημάτων, εἶτα ὀνειδίζεται παρὰ τοῦ θέλοντος αὐτὸν εἰς ἐπιστροφὴν ἄγειν· μετανοήσῃ καὶ αἰσχυνθῇ, ἀναίσχυντος ὢν τὸ πρότερον, ἅμα τε ἤρξατο ὀνειδίζειν ὁ Κύριος, καὶ ἐπαύσατο. Ἐὰν δὲ μὴ μετανοήσῃ, τηρεῖται αὐτῷ ὁ ὀνειδισμὸς καὶ ἐπὶ τὴν ἀνάστασιν. — Καὶ ἐπάταξε κτλ. Τοῦτό φησιν, διὰ τὸ Ἀζωτίους καὶ Ἀσκαλωνίτας εἰς τὰ ὀπίσω τῆς ἕδρας πατάξαι, ἄχρις οὗ τὴν κιβωτὸν ἐξαπέστειλαν.

conspectu Dei intuentur, et coram eo astant, non percutiuntur. Sed quando quis Deum fugit, tunc percutitur; atque quum non sentiat propria peccata, porro probris illum incessit, qui vult eum in conversionem reducere; pœniteat et pudeat eum, qui prius sine pudore fuit, et statim ut Dominus incoepit increpare eum, et postea requievit. Sin autem eum non pœnituerit, convicium ei adhærebit, et usque ad resurrectionem. — *Et percussit* etc. Hoc dixit ob Asotios et Ascalonitas, qui natibus percussi sunt, donec arcam remiserint.

Psalmus LXXVIII.

v. 2. Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. *Vat.* 675, 1.

Τῶν δαιμόνων οἱ μὲν θεωρίᾳ, οἱ δὲ πράξει ἀντίκεινται· καὶ οἱ μὲν πρότεροι πετεινὰ οὐρανοῦ ὀνομάζονται, οἱ δὲ δεύτεροι λέγοιντ' ἂν θηρία τῆς γῆς. — Ὡς πετεινὰ τοῦ οὐρανοῦ ἢ θηρία τῆς γῆς, τὰ ἔθνη καὶ αἱ βασιλεῖαι τῆς γῆς κατέφαγον Ἰάκωβον τὸν Ἰσραήλ.

v. 3. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ.

Τὸ οὖν αἷμα, ὃ ἐξέχεαν, ἐκ τῶν ἐσθιομένων ἀρετῶν καὶ πινομένων δογμάτων ἐστί. — Χρήσαιτο ἂν τις τούτοις ἐκ δίκης τοῦ ἐκχυθέντος μαρτύρων αἵματος αὐτῶν.

v. 7. Καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.

Τόπος γνώσεως Θεοῦ καὶ νοῦς.

v. 8, 9. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτωχεύσαμεν σφόδρα, βοήθησον ἡμῖν, ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν, ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου.

Ps. LXXVIII, v. 2. Vat. 2, 4, 7, 16.
v. 3. Vat. 2, 5.

v. 2. *Posuerunt morticina servorum tuorum escas volatilibus cœli, carnes sanctorum tuorum bestiis terræ.*

Dæmones quidem alii contemplationi, alii autem actioni adversantur: illi porro volucres cœli nominantur, hos autem dicere possis bestias terræ. — Perinde ac volucres cœli aut bestiæ terræ, gentes et regna terræ comedebant Jacobum Israel.

v. 3. *Effuderunt sanguinem eorum sicut aquam.*

Igitur sanguis quem effuderunt, scaturit ex virtutibus quas comedunt, et ex dogmatis quæ ebibunt. — Quo verbo utatur quisquis vindicaverit sanguinem martyrum.

v. 7. *Et locum ejus desolaverunt.*

Mens quoque est locus scientiæ Dei.

v. 8, 9. *Cito anticipent nos misericordiæ tuæ, quia pauperes facti sumus nimis, adjuva nos, Deus salutaris noster, propter gloriam nominis tui.*

v. 8, 9. Vat. 4. 6. Plura retinuit Theodorus, alia præstitit Laurent. Plut. VI, 3.

Τὸ δέ· ἐπτωχεύσαμεν, ἀντὶ τοῦ· πάσης ἐγυμνώσθημεν προστασίας. Καλῶς δὲ καὶ τό· ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἀντὶ τοῦ· ὡς ἀεὶ τοῦτο ἐφάνης ποιῶν, οὕτω καὶ νῦν ποίησον, καὶ ταῦτα πρὸς ἀναξίους, ὅτι καὶ οὐχ ὡς ἄξιοι, αἰτοῦσιν· ἀλλ' ὡς τοῦ Θεοῦ ὀφείλοντος ἑαυτῷ ἀκολουθεῖν, ἐπάγουσιν· ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου, ὅταν γυμνοὶ γεγόναμεν πάντη ἀπὸ τῆς σῆς βοηθείας, νῦν δώρησαι ἡμῖν ταύτην, ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν.

v. 11. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπηδημένων.

Νοῦν μὲν δεσμοῖ ἀγνωσία, ψυχὴν δὲ κακία· ψυχὴν δέ φημι θυμὸν καὶ ἐπιθύμιον, ὅπερ λέγεται θυμικὸν καὶ ἐπιθυμικόν.

v. 12. Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλάσια εἰς τὸν κόλπον αὐτῶν.

Δότωσαν δίκας ὑπὲρ ὧν ἐπλημμέλησαν ἐν τῷ βίῳ τούτῳ· τὸ γὰρ ἑπταπλάσιον τὸν βίον τοῦτον σημαίνει, ὡς καὶ τὸ ὀκτωπλάσιον τὸν μέλλοντα. Τοιοῦτόν ἐστι καὶ τό· Δὸς μερίδα τοῖς ἑπτὰ καίγε τοῖς ὀκτώ. — Ὁ κόλπος τὸ ἀκόριστον δηλοῖ· τοῦτο οὖν λέγειν βούλεται, ὅτι ἀκόριστον αὐτῶν ποίησον τὸν ὀνειδισμὸν, μεγάλως καὶ δοκοῦσι παροξύνειν τὸν Θεόν· οὐ γὰρ εἴρηκε τὸν ὀνειδισμὸν ἡμῶν, ἀλλὰ τὸν σόν· ὁ γὰρ περὶ ἡμᾶς ὀνειδισμὸς, σὸς μᾶλλον ἢ ἡμῶν. Τοῦτο οὖν φησί· πολλαπλασίως ἀπόδος ἐκείνοις, σύναψον αὐτοῖς τεμωρίαν ἀκόριστον, καὶ πλείονα τῆς ἡμετέρας.

Illud: *pauperes facti sumus,* est pro hoc: omni sumus protectione destituti. Optime etiam dictum: ***Deus salutaris noster,*** id est: uti semper te ostendisti facientem, fac etiam nunc, vel erga indignos, quoniam non veluti digni deprecantur; sed quasi oporteat Deum esse sibimet consequentem, pergunt: ***propter gloriam nominis tui,*** quoniam nudi omnino facti sumus auxilio tuo, nunc illud nobis largitor, Deus, salvator noster.

v. 11. *Introeat in conspectu tuo gemitus compeditorum.*

Mentem in vinculis tenet ignorantia, animam vero malitia. Animam dico animum ejusque affectum, quod item dicitur concupiscendi facultas et effectus.

v, 12. ***Redde vicinis nostris septuplum in sinum eorum, opprobrium ipsorum, quod exprobraverunt tibi, Domine.***

Pœnas pro admissis sceleribus pendant in hac vita. Illud enim ***septuplum*** hanc vitam significat, sicut octuplum, futuram. Simile est hoc: « Da partem his septem, illis octo ». — Sinus autem id ostendit quod satiari nequit. Hoc igitur dicere vult: fac illis inexhaustum sit opprobrium, tum maxime quod videntur irritare Deum. Non enim dixit opprobrium nostrum, sed tuum. Nam non de nobis derisio est, verum de te. Hoc ergo inquit: septuplum illis retribue; irroga illis pœnam satiari nesciam, et sæviorem quam nostram.

v. 11. Vat 5.

v. 12. Vat: 4, 5. Eccle. XI, 2. Hinc etiam declaratur obscurus Ambrosii locus: *Et mandatum accipis, octo illis partem dare, fortasse benedictionibus*, videlicet ut in vita futura benedicantur. Quæ crux aliquando fuerunt legentibus in Breviario Rom. lect. VIII pro pluribus martyribus, loco secundo.

Psalmus LXXIX.

v. 1. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα Ἰωσήφ. *Vat.* 675, 2.

Οὐκ ἀπέστην, εἰμὶ εἰς τὰ πρόβατα, ὧν ἕκαστος λέγει τῷ Θεῷ· Κτηνώδης ἐγεννήθην παρὰ σοί. Καί· Κύριος ποιμαίνει με. Ὅταν δὲ ὡς ἀπὸ ποιμένος εὐφρανθῇ, ἐρεῖ ὡς λογικός· Ἡτοίμασε ἐνώπιόν μου τράπεζαν.

v. 1. *Qui pascis Israel, intende, qui deducis velut ovem Joseph.*

Haud recessi, sum inter oves. Horum singuli Deo dicunt: « Sicut jumentum factus sum apud te », et « Dominus pascit me. » Quando vero tanquam de pastore quis lætatur, dicit ut ovis rationalis: « Preparavit in conspectu meo mensam ».

v. 2, 3. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβεὶμ, ἐμφάνηθι, ἐναντίον Ἐφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσῇ· ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

Ἐνταῦθα μὲν κάθηται ἐπὶ τῶν Χερουβεὶμ ὁ Θεὸς, ὡς καὶ παρὰ τῷ Ἐζεχιήλ. Ἀλλαχοῦ δὲ ἐπέβη ἐπὶ τῶν Χερουβεὶμ, καὶ ἐπετάσθη. Καὶ διὰ μὲν τῆς καθέδρας τὴν σταθερὰν ἕξιν μηνύει τῶν Χερουβείμ· διὰ δὲ τῆς πτήσεως αἰνίττεται τὴν ταχεῖαν ἐνέργειαν. Ἀπὸ δὲ τῶν τριῶν ἐπιφανεστέρων φυλῶν τὸ σύμπαν τοῦ Ἰσραὴλ ἐσήμηνε γένος. Ποτὲ ὁ λόγος πρὸς τὸν καλόν ἐστι ποιμένα, τὸν ποιμαίνοντα τὸν Ἰσραὴλ, ἐναντίον Ἐφραὶμ, ὁδηγοῦντα δὲ τὸν Ἰωσὴφ ἐναντίον Μανασσῇ, καθήμενον δὲ καὶ τῶν Χερουβεὶμ ἐναντίον Βενιαμίν. — Ἐπὶ τοῦ δυνατοῦ τὰ Χερουβεὶμ λέγεται ἀεί. Ὁ ἐπὶ πάντων, φησί, ὢν τῶν δυνατῶν, καὶ πάσας ἔχων ὑφ' ἑαυτὸν εἴτε ἀοράτους δυνάμεις, εἴτε ὁρατοὺς, δεῖξον σεαυτὸν διὰ τῆς εἰς ἡμᾶς βοηθείας.

v. 2-3. *Qui sedes super Cherubim, manifestare coram Ephraïm et Benjamin et Manasse. Excita potentiam tuam, et veni, ut salvos nos facias.*

In hoc loco sedet Deus super Cherubim, ut apud Ezechielem. Alibi vero « ascendit super Cherubim, et volavit. » Atqui per sessionem respicit ad stabilem Cherubim potestatem; per volatum autem significat in opere velocitatem. Per has vero tres tribus insigniores universum Israelis genus intellexit. Fieri potest ut sit sermo ad bonum pastorem qui pascit Israel in conspectu Ephraïm, qui ducit vero Joseph ante Manasse, sedet autem super Cherubim in conspectu Benjamin. — De potente Cherubim dicuntur semper. O tu qui es, inquit, super omnes potentes, et qui sub te habes quascumque sive invisibiles potestates sive visibiles, ostende te ipsum tuendo nos.

v. 6. Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων.

Διὰ τούτων ῥημάτων παρίστησε τὴν πικροτάτην μετάνοιαν.

v. 6. *Cibabis nos pane lacrymarum.*

Ex his verbis exhibuit acerbissimam pœnitentiam.

v. 9, 10. Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας· ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτὴν, ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήσθη ἡ γῆ.

v. 9-10. *Vineam de Ægypto transtulisti, ejecisti gentes, et plantasti eam. Viam fecisti in conspectu ejus, et plantasti radices ejus, et implevit terram.*

Ps. LXXIX, v. 1, 2, 3. Vat. 2, 5, 15. — Ἀπὸ δὲ... γένος. Hæc notula transiit ad Cyrillum, apud Maium., neque eamdem omnino omisit Theodoretus. Cf. Ps. LXXII, 23; XXII, 1, 3. Ezechiel. X, I. Dan. III,55. Ps. XVII, 11. In fine ex Laur. Plut. VI, 5.

v. 6. Laurent, laud. Plut. VI, 3.

v. 9, 10. Vat. 5. Rom. XI, 32.

Ἔθνη μὲν ἐξέβαλεν ὁ Θεός, ἵνα κατεφυτεύσῃ τὸν Ἰσραήλ, συνέκλεισε δὲ εἰς ἀπείθειαν τὸν Ἰσραήλ, καὶ τὴν ἀνόδευτον ἔρημον, οὐκ οὖσαν πρότερον ὁδὸν ὡδοποίησεν ὁ Θεὸς τῶν δυνάμεων, ἔμπροσθεν τῆς ἀμπέλου.

v. 11. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.

Ἀναδενδράδες εἰσιν οἱ θεωρητικοί.

v. 13. Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;

Οἱ δαίμονές εἰσιν οἱ τρυγῶντες τοὺς καρποὺς ἡμῶν· οὓς αὐτοὶ ἐκφέρειν ἡμᾶς ἐνεργοῦσιν κακὴν γεωργίαν γεωργοῦντας ἡμᾶς.

v. 14. Ἐλυμήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.

Μονιὸν δὲ ἄγριον λέγει τὸν Σατανᾶν, ὅνπερ σημαίνει χοῖρος ἐξ ὕλης, λέγει δὲ τὸν διάβολον.

v. 17. Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη· ἀπὸ τῆς τιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.

Οὐκ ἀμνός, φησί, μέλλων αὐτοὺς τιμῶν ῥύσασθαι, ἀλλ' ἀρκεῖ καὶ μόνη ἡ ἐπιτίμησις πάντας ἀφανίσαι, γενομένης τῆς σῆς προνοίας ἐπάνω.

v. 18. Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ.

Ἄνδρα δεξιᾶς τὸν Χριστὸν ὀνομάζει· ἄνδρα δὲ διὰ τὴν ἀνθρωπότητα· δεξιᾶς αὐτοῦ, πρῶτον μὲν ὡς ἐν δεξιᾷ τοῦ Πατρὸς, μετὰ σαρκὸς καθεζόμενον, ἔπειτα δι' αὐτοῦ πᾶσαν τὴν κτίσιν ἐποίησε.

v. 19. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.

Ἐπεὶ ἡ ζωὴ ἡμῶν κέκρυπται [ἐν Χρισ-

v, 11. Laurent. 15.
v. 13, 14. Vat. 5, 12, 14, 16.

Equidem gentes ejecit Deus, ut plantaret Israel; conclusit autem Israel in infidelitate; et in deserto invio, ubi prius nulla semita erat, viam fecit Deus virtutum in conspectu vineæ.

v. 11. *Operuit montes umbra ejus, et arbusta ejus cedros Dei.*

Vineæ fruticationes sunt viri contemplationis studiosi.

v. 13. *Ut quid destruxisti maceriam ejus, et vindemiant eam omnes qui prætergrediuntur viam?*

Dæmones sunt qui vindemiant fructus nostros, quos omni arte a nobis tollere student, improbam exercentibus agriculturam.

v. 14. *Devastavit eam aper de sylva, et singularis ferus eam depastus est.*

Singularem feram vocat Satanam, idem significat aper sylvestris, loquitur autem de diabolo.

v. 17. *Incensa igni et suffossa, ab increpatione vultus tui peribunt.*

Non jam, inquit, Agnus debet eos a suppliciis eruere, sed satis est sola increpatio, ut omnes destruantur, desursum imminente tua providentia.

v. 18. *Fiat manus tua super virum dexteræ tuæ, et super filium hominis quem confirmasti tibi.*

Virum dexteræ Christum vocat, *virum* autem propter humanitatem. *Dexteræ ejus,* primum quia in dextera Patris sedet cum carne, deinde quod per eum universam creaturam condidit.

v. 19. *Et non discedimus a te, vivificabis nos, et nomen tuum invocabimus.*

Quoniam « vita nostra abscondita est

v. 17, 18. Vat. 13.
v. 19. Vat 5, 16.

τῷ], ζωώσεις ἡμᾶς εἰς τὸν μέλλοντα χρόνον. — Ζωοποιήσεις ἡμᾶς, οὐδεὶς δύναται ζωοποιῆσαι ἡμᾶς, εἰ μὴ εἰπών· Ἐγώ εἰμι ἡ ζωή· ταύτης γὰρ ἐξ ἡμῶν λαμβανομένης τῆς ἀπαρχῆς, πᾶσα τῶν ἀνθρώπων ἡ φύσις τὸν ἀληθῆ Θεὸν ἐπιγνώσεται, καὶ τὴν γεγενημένην φιλανθρωπίαν ἀνυμνήσει· τῷ τρόπῳ δὲ τούτῳ καὶ τοῦ θανάτου τὸ κράτος λυθήσεται, καὶ ἡμεῖς τῆς ζωῆς τῆς αἰωνίου τευξόμεθα, σὲ προσκυνοῦντες τὸν πατέρα Θεόν.

in Christo », vivificabis nos in tempore venturo. — *Vivificabis nos :* nemo nos vivificare potest, nisi qui dixit : « Ego sum vita. » Ex hisce enim nostris primitiis universa hominum natura verum Deum cognoscet, et nobis factam clementiam hymnis celebrabit. Eodem quoque pacto mortis potestas dissolvetur, et nos æterna vita fruemur, te Deum patrem adorantes.

Psalmus LXXX.

v. 1. Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τῷ Ἀσὰφ ψαλμός. Ἀγαλλίασθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν. Ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ. *Vat.* 676, 2.

Ἠθικώτερον δὲ, ὧν μὲν κατορθούντων οἱ καρποὶ ἐπὶ τὰς ληνοὺς ἔρχονται, ἀκουέτωσαν τοῦ ἀγαλλιᾶσθαι τῷ Θεῷ· ὁ δὲ ἁμαρτῶν, καὶ δεόμενος μετανοίας καὶ ἐπιστροφῆς, μὴ ἀγαλλιάσθω, ἀλλὰ λυπηθήτω κατὰ Θεόν· ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. Καὶ σὺ δὲ, ἐὰν βοηθηθεὶς ὑπὸ Θεοῦ, τὴν συγκομιδὴν ἐποιήσω τῶν καρπῶν ἐπὶ τὰς ἁγίους ληνοὺς, μὴ ἐπιλανθάνου τοῦ Θεοῦ, καθὸ βοηθός σου γέγονεν. Κἂν εὐπορῇς λέγων τῶν κατ' ἀξίαν ἀποδοθησομένων τῷ Θεῷ ἐν εὐχαριστίᾳ, ἀλάλαζε εὐσήμῳ φωνῇ καρδίας κεκραγυίας, ὑπερβαινούσης τὰ σημαινόμενα ἀπορούσης λέξεως, καὶ διὰ τὴν ἀπορίαν τῶν λέξεων ἀπόρρητα καὶ ἄρρητα λαλούσης. Ἐὰν γὰρ ἀναβῇς τὰ λεκτὰ, ἐὰν ὑπέρβῃς τὰ ἐπαγγελλόμενα, τὰ διὰ στόματος φωνούμενα, καὶ μόνῳ νῷ δυνηθῇς ὑμνεῖν τὸν Θεὸν, τῷ ἀποροῦντι ἐπιθεῖναι ἑαυτοῦ κινήματα τῷ λόγῳ παρὰ τὸ τὸν λόγον τὸν ἐν σοὶ μὴ δύνασθαι βαστάζειν τοῦ νοῦ τὰ ἀπόρρητα καὶ τὰ θεῖα, ἀλαλάξεις τῷ Θεῷ Ἰακὼβ, ὡς μιμητὴς τοῦ πτερνιστοῦ Ἰακώβ.

v. 1. *In finem super torcularia, psalmus ipsi Asaph. Exultate Deo, adjutori nostro, jubilate Deo Jacob.*

Potior ad mores respectus fit: equidem rectorum est, quorum fructus in torcularia feruntur, audire monitum exultandi Deo. Peccator vero, qui indiget pœnitentia et conversione, non exultet, sed lugeat secundum Deum : luctus enim secundum Deum, in salutem pœnitentiam operatur non pœnitendam. Et tu vero si, favente Dei auxilio, collegisti fructus portandos in divina torcularia, noli Dei oblivisci, ut qui tibi adjutor fuit. Etiamsi impeditus sis, quin, ut decet, ea loquaris quæ Deo placeant, ut grates agas, jubila festiva voce cordis clamantis, quo superantur signa ambiguæ dictionis, et quod ob ipsam verborum penuriam arcana et ineffabilia verba pronunciat. Etenim si ultra colloquia ascendis, si transgredieris ea quæ renunciantur, ea quæ per os insonant, ita ut solo spiritu queas Deum hymno celebrare, ac ambigenti imponas tibi met ipsi conatus loquendi, inquantum nequeas sermonem in te contentum sufferre usque ad Spiritus arcana ac divina oracula, jubilabis Deo Jacob, tanquam imitator Jacobi illius qui plantam subcollavit.

Ps. LXXX, v. 1. Laurent. Plut. v. 14.

v. 3. Λάβετε ψαλμὸν, καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας.

Τάχα δὲ ἕν μοι δίδωσιν ὁ λόγος, τρία δέ με ἀπαιτεῖ· δίδωσι γάρ μοι ψαλμὸν, καὶ ἀπαιτεῖ ἀπ' ἐμοῦ πρῶτον τύμπανον, δεύτερον ψαλτήριον, εἶτα κιθάραν· ἵνα μάθω ὅτι δίδωσί μοι καὶ χάριν τοῦ Θεοῦ, τὴν διδασκαλίαν· ἀπαιτεῖ δέ με ἁγιασμὸν ὁλοτελῆ, ἵνα ἁγιάσθω ὁλόκληρος τῷ πνεύματι καὶ τῇ ψυχῇ καὶ τῷ σώματι· ἵν' αἰνῶ τὸν Θεὸν, ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώματος, εἶτα δυνηθῶ συμφωνίαν ποιῆσαι, ὡς ψαλτηρίου, πρὸς κιθάραν τοῦ Πνεύματος, πρὸς τὴν ψυχὴν, ἢ κατὰ τὸν ἀπόστολον πρὸς τὸν νοῦν, ὥστε λέγειν· Ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νῷ.

Ψαλτήριον πάλιν τὸ σῶμά φησι διὰ τὴν γενομένην ἁρμονίαν καὶ συμφωνίαν πρὸς αὐτῷ τῆς ψυχῆς, ἵνα ἄρτιοι γένωνται οἱ τοῦ Θεοῦ ἄνθρωποι, καὶ τὰς ψυχὰς ἀνατεθέντες τῷ Θεῷ καὶ τὸ σῶμα, οὐ τῷ κόσμῳ, ἀλλὰ τῷ Κυρίῳ. — Τύμπανον δὲ ὀργανόν ἐστιν ἐκ δερμάτων πεποιημένον. Λέγει οὖν· Ὑπήκοοι τοῖς θείοις νόμοις γενόμενοι, παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ. — Προστάττει δέχεσθαι μὲν ἀκοαῖς τὴν τῶν λόγων διδασκαλίαν, διδόναι δὲ τὴν διὰ τοῦ σώματος πρᾶξιν. Λάβετε διδασκαλίαν πνευματικὴν. καὶ δότε νέκρωσιν μελῶν τῶν ἐπὶ τῆς γῆς.

v. 4. Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι.

Ὥσπερ πάλαι ποτὲ ὁ Ἰσραὴλ αἰσθητὰς λαμβάνων σάλπιγγας ἐν τῇ νεομηνίᾳ, ἐσάλπισεν, τοῦτο πρόσταγμα δεδωκότος Θεοῦ, εἰς μαρτύριον τοῦ ἐλευθερωθῆναι αὐτοὺς τῆς ἐξ Αἰγύπτου δουλείας· οὕτω καὶ ὁ νέος λαὸς τῇ εὐαγγελικῇ χρώμενος σάλπιγγι, ἧς ὁ φθόγγος εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, κελευέ-

v. 3. *Sumite psalmum, et date tympanum, psalterium jucundum cum cithara.*

Forte an unum mihi dat versiculus, tria vero a me exigit. Porrigit enim mihi psalmum, et postulat a me in primo loco tympanum, in secundo psalterium, postremo citharam; ut edocear mihi etiam concedi Dei gratiam, didascaliam nimirum. A me vero requirit integram sanctitatem, ut omnino totus fiam sanctus in spiritu, in anima et in corpore; unde sic Deo canam, tum in tympano per corporis mortificationem, tum valeam concentum exercere, quasi per psalterium et spiritus citharam in anima, sive juxta apostolum in spiritu; ex quo dicere fas sit: « Psallam spiritu, psallam et mente. »

Rursus psalterium vocat corpus ob insitam harmoniam et concordiam inter corpus et animam, ut bene instructi fiant homines Dei, qui animas Deo consecrarunt, et corpus, non mundo, sed Domino voverunt. Tympanum vero est instrumentum ex pellibus compactum. Igitur ait: Auditum divinis dantes legibus, « apponite corpora vestra hostiam viventem, Deo placentem. » — Recipere auribus præcipit sermonum didascaliam, ac dare corporis operationem. Sumite spiritualem disciplinam, et date terrenorum membrorum necem spontaneam.

v. 4. *Buccinate in neomenia tuba.*

Sicut olim Israel, tactiles assumens tubas, aliquando in neomenia buccinabat, juxta Dei præceptum, ut testarentur se esse ab Ægypti servitute liberatos, ita et novus populus, dum tuba insonat evangelica, cujus sonus in omnem terram increpuit, jubetur in neome-

v. 3. Ab initio ex eodem cod. Florent. dein Vat. 2, 3, 4, 6. Addunt codd. nostri prolixum commentarium, quem ægre omisimus, utpote editum in vulgato Athanasio, Patrol. col. 363-364. Cf. 1 Cor. xiv, 15. Phil. iv, 18.

v. 4. Vat. 14.

ται ἐν ταῖς νεομηνίαις σαλπίζειν, τουτέστι ἐν τῇ ἀνακαινώσει τοῦ νοὸς αὐτοῦ, ὁμολογῶν καὶ αὐτὸς καὶ μαρτυρῶν τῷ Θεῷ, ὅτι δι' αὐτοῦ ἐκ τῆς νοητῆς ἐλευθερώθησαν Αἰγύπτου, τουτέστιν ἐκ τῆς ἐξουσίας τοῦ σκότους.

v. 5. Ὅτι πρόσταγμα Ἰσραὴλ, καὶ κρίμα τῷ Θεῷ Ἰακὼβ, μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτόν.

Τὰ προειρημένα, λέγω δὲ τὸ ἀγαλλιᾶν τῷ Θεῷ Ἰακὼβ, καὶ τὰ ἑξῆς, τοῦτο πρόσταγμά ἐστι δοθὲν τῷ Ἰσραὴλ, καὶ κρίμα ἐστὶν κριθὲν τῷ Θεῷ Ἰακὼβ, καὶ μαρτύριόν ἐστιν ὃ ἔθετο ὁ Θεὸς ἐν τῷ Ἰωσήφ.

v. 6. Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸν ἐν τῷ ἐξελθεῖν ἐκ τῆς Αἰγύπτου· γλῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν.

Ἤκουσεν ὁ Ἰσραὴλ, ἢ ὁ Ἰωσήφ. Καὶ ἡμεῖς οὖν ὅσον μὲν ἐκ γῆς Αἰγύπτου οὐκ εἰσόμεθα, τὴν γλῶσσαν ἣν πρότερον οὐκ ἔγνωμεν, ἠκουσάμεθα, καὶ ἀνεστήσαμεν ἀπὸ ἄρσεων, ἐν αἷς ἐν Αἰγύπτῳ ὄντες ἐβαρούμεθα. — Ἤκουσεν αὐτοῦ [Θεοῦ] γλῶσσαν, τὴν ἐν τῷ ὄρει Σινᾶ γενομένην φωνὴν, ἢ φωνῆς θείας οὐδέποτε ἀπολαύσας, ταῦτα ἔπη ἢ Κυρίου τὸν νόμον δεχόμενος.

v. 7. Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ, αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.

Ἀπὸ ἄρσεων δὲ καὶ τῶν βασταγμάτων λέγει· αἱ γὰρ ἀνομίαι αὐτῶν ὑπερῇραν τὴν κεφαλὴν αὐτῶν, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' αὐτούς. Οἱ γὰρ τοῖς τῆς πλινθείας ταλαιπωρίας πόνοις, κοφίνῳ τὸν πηλὸν ἐκβάλλοντες, φέρουσι κατὰ νῶτον, τὸν τοίνυν νῶτον αὐτῶν ἀπέστησεν ἀπὸ ἄρσεων, τουτέστιν ἐλευθέρωσε τῶν βασταγμάτων. — Αἱ χεῖρες ἡμῶν ἐν τοῖς κοφίνοις ἐργαζομένων τὸν Αἰγύπτιον πηλὸν, καὶ συναγόντων ἄχυρα, ἐδούλευον. ἀλλ' ὁ σωτὴρ ἡμῶν ἐλθὼν ἐπλήρωσεν ἄρτοις, ἑκάστῃ φυλῇ κόφι-

niis inflare tubas, id est renovare spiritum suum, ipse quoque Deum confessus, contestatusque per eum se a Spirituali Ægypto liberatum, nimirum a potestate noctis.

v. 5. *Quia præceptum Israel est, et judicium Deo Jacob, testimonium in Joseph posuit illud.*

Quæ supra dicta sunt, id est *exultare Deo Jacob etc.* illud est præceptum Israeli datum; et judicium a Deo Jacob pronuntiatum, idemque testimonium quod Deus posuit in Joseph.

v. 6. *Testimonium in Joseph posuit illud, quum exiret da terra Aegypti, linguam quam non noverat, audivit.*

Audivit Israel vel Joseph. Ac nos etiam, quamdiu ab Ægypto non exivimus, linguam quam prius nesciebamus, audivimus, et surreximus ab oneribus, quæ nos, dum in Ægypto fuimus, pondere premebant. — Audivit Joseph Dei linguam, vocem in Sina prolatam; vel divina voce nondum fruens, hæc verba, sive Domini legem recepit.

v. 7. *Avertit ab oneribus dorsum ejus, manus ejus in cophino servierunt.*

Ab oneribus, dicit, et sarcinis avertit. Iniquitates enim illorum caput eorum superabant, et sicut onus grave graviter eos opprimebant. Nam qui subacti miserrimis laboribus in conficiendis lateribus, lutum ingerunt in cophinum, hi terga oneribus dant. Igitur dorsum eorum *avertit ab oneribus,* seu liberavit a sarcinis portandis. Manus nostræ, quando in cophinis lutum Ægypti tractabant, et lubrica coacervabant, in servitute erant. Sed salvator noster veniens

v. 5. Vat. 4, 5, 12.

v. 6. Vat. 4, 5, 12. Quoties Noster exitum ab Aegypto recolit, respicere solet ad Baptismum, sed non sine arcana quadam ambiguitate, ut ubi quinque panes hordeaceos et cophinos duodecim, mel et aquam de rupe, comminiscitur.

νον, καθ' ὃν ζητήσεις ὅσοι ἐν ἐρήμῳ ἄρτοι εὑρέθησαν πλείονες ἢ πέντε, κοφίνων δὲ εὐπόρησαν δώδεκα.

v. 9. Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι.

Τῶν ὀργάνων ἃ μὲν ἔχει τὴν ἁρμονίαν τὴν μουσικὴν, ἃ δέ ἐστιν ἀνάρμοστα. Ὁ οὖν γεγυμνασμένος ἐν τοῖς μουσικοῖς ἔργοις, ἐπιλέγεται τὰ ἐναρμόνια, φεύγει δὲ τὰ ἀνάρμοστα, ἵνα μὴ ἀσχημονῇ διὰ τὸ ὄργανον, ὡς οὐχ ὑπηρετοῦν τῇ τέχνῃ ὁ τεχνίτης. Καὶ ὁ Θεὸς οὖν ἐὰν ἀπορῇ τῶν ὀργάνων αὐτοῦ, σιωπᾷ, οὐ παρ' ἑαυτὸν, ἀλλὰ παρὰ τὴν τῶν ὀργάνων ἀπορίαν. Ὄργανα δὲ Θεοῦ οἱ μακάριοι προφῆται, καὶ ὥσπερ ὁ ἀκούων χορδῆς καὶ ἤχου τοῦ ἐν τῇ λύρᾳ, οὐκ ἐκείνης ἀκούει, ἀλλὰ τοῦ μουσικοῦ κρούοντος μουσικῶς τὸ ἐπιτήδειον ὄργανον, οὕτως ὁ ἀκούων προφήτου, μὴ νομιζέτω ἀνθρώπου ἀκούειν, ἀλλὰ Θεοῦ τοῦ ὄργανον εὑρόντος ἐπιτήδειον, καὶ συγχρησαμένου αὐτῷ εἰς δέον. Μακαρίζω οὖν καὶ τοῦτον τὸν προφήτην, ὅτι ὄργανον ἑαυτὸν ἔταξε πρὸς διαδοχὴν κρούοντος Θεοῦ, καὶ τό· ἄκουσον, λαός μου, ἐπὶ τὸν χρώμενον τῷ ὀργάνῳ ἀναφέρω Θεόν· ὡς καὶ ὀφθαλμοῖς χρῆται δικαίου καὶ ὦσι καὶ χειρὶ, καὶ πᾶσι τοῖς μέλεσιν· ἀκούσωμεν οὖν τί λέγει ὁ Θεὸς ἐν τῷ ἰδίῳ ὀργάνῳ, διαμαρτυρόμενος πρὸς τὸν λαόν. Πεῖραν, φησὶ, τῆς ἐμῆς δυνάμεως εἰληφὼς, ὦ Ἰσραήλ, δέξαι προθύμως τὰς παρ' ἐμοῦ προσφερομένας νομοθεσίας. Διαμαρτύρια γάρ ἐστι προλέγουσά σοι καὶ τῆς ἀπειθείας τὴν τιμωρίαν, καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν.

v. 10. Οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος.

Πρόσφατός ἐστι θεὸς, ὁ μηδὲν οὐσιῶσαι δυνάμενος, ἢ ὁ τῇ κακίᾳ πεποιημένος, καὶ παρὰ τοῖς ἔθνεσι νενομισμένος. Ὠνόμασεν τὴν πολύθεον εἰδωλολατρίαν οὕτω παραπεμ-

implevit panibus cophinum pro singulis tribubus; qua de re quæres cur in eremo non plures quam quinque panes inventi sint, duodecim vero cophini præsto fuerint.

v. 9. *Audi, populus meus, et loquar tibi; Israel, et contestabor te.*

Inter istrumenta, alia cient musicum concentum, alia destituuntur harmonia. Quisquis ergo exercitatus fuit in re musica, eligit ea quæ harmonica sunt, abhorret vero ab absonis, ne pudefiat ob instrumentum, ac si artifex in arte sua deficiat. Et Deus ergo, si de instrumento dubitat, silet, non propter se, sed ob instrumenta inepta. Porro instrumenta Dei sunt beati prophetæ; et quemadmodum ubi quis chordam sonumve audiens ex lyra elicitum, non lyram audit, sed musicum, harmonice pulsantem instrumentum aptissimum, ita qui audit prophetam, caveat ne credat hominem audire, sed Deum qui commodum repperit instrumentum, eoque pro re nata utitur. Beatum ergo dico illum prophetam, qui semet organum instruxit, obediens pulsanti Deo, et illud dictum: *audi, populе meus,* refero ad Deum instrumento utentem: utitur quasi justi oculo, et auribus, et manu, et omnibus membris. Audiamus ergo quid dicat Deus in suo organo, contestatus ad populum suum. Tu qui fecisti, ait, o Israel, experientiam meæ potestatis, accipe strenue prolatas a me legum formulas; testimonia enim sunt, quæ te alloquuntur, et de pœna incredulitati imminente, et de servatis bonæ fidei emolumentis.

v. 10. *Non erit in te deus recens.*

Deus recens est ille qui non potest existere, vel qui improbe fabricatus, nec nisi ab Ethnicis reputatus est. Quo nomine polytheismi idololatriam signa-

v. 9. Ex Florent. jam laudato.

v. 10. Vat. 2, 6.

πομένην. Δεῖ γάρ σε δεσπότην ἡγεῖσθαι ἐμὲ, τὸν ἀπαλλάξαντά σε δουλείας, ἀφ' ὧν ἔλαβες τὴν πεῖραν.

v. 11. Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.

Ἀντὶ τοῦ· εἴ τι δυνάσαι, αἴτησαι, καὶ πλείω παράξω ὧν αἰτεῖς. Καὶ πληρώσω, ἀντὶ τοῦ τελειοτέρους λόγους παρασκευάσω εἰπεῖν.

v. 17. Καὶ ἐψώμισεν αὐτοὺς στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

Αὐτός ἐστιν ὁ πυρὸς, περὶ οὗ γέγραπται· Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ἀφ' οὗ στέατος ψωμίσει ἡμᾶς ὁ Θεὸς, διδοὺς ἄρτον ζῶντα, ὃν αὐτὸς ἀρτοποιεῖ ὁ Πατήρ. Οὗτος δὲ ὁ πυρὸς καὶ πέτρα ἐστί. Πέτρα δέ ἐστιν ὁ Χριστός· ἀφ' ἧς πέτρας οὐ μόνον ὕδωρ ποτίζον καὶ τὸν λαὸν, ἀλλὰ καὶ μέλι χορτάζον τοὺς μακαρίως πεινῶντας. — Λέγει δὲ τότε τὸ ὕδωρ τῆς περιτομῆς· νῦν δὲ λέγει τὸ τῆς ζωῆς, τὸ ἐκ πλευρᾶς ἐξελθὸν Ἰησοῦ. — Τοῦτον ψωμίζει ὁ Θεὸς, ὃν δι' ἐντολῶν παιδεύει, καὶ τοῦτον χορτάζει, ὃν διὰ τῆς αὐτοῦ θεωρίας εὐφραίνει. — Ἠθικῶς δὲ τὸ εἶδος τῆς φιλοσόφου καὶ ἀπεράτου καὶ τῷ ἀναγκαίῳ μετρουμένης ζωῆς ἰδιότατον μὲν ἔχει τόπον τὴν ἐρημίαν, καὶ ταύτῃ κατὰ τὸ πλεῖστον ἐμφιλοχωρεῖ· συμβαδίζει δὲ πανταχοῦ τοῖς βουλομένοις, εἴπερ ἐν τρόπῳ, καὶ μὴ ἐν τόπῳ τὸ φιλοσοφεῖν, ὅπερ οὐδὲν ἂν τῶν πάντων στενοχωρήσειεν.

vit quam sic missam facit. Tu enim oportet censeas me esse Dominum, qui te a servitute retraxi, teste quam habuisti rerum experientia.

v. 11. *Dilata os tuum, et implebo illud.*

Ac si dicat: quantum potes, pete, et plus dabo quam petieris. *Et implebo,* id est curabo ut præstantiora verba proferas.

v. 17. *Et cibavit eos ex adipe frumenti, et de petra melle saturavit eos.*

Hoc est frumentum de quo scriptum est: « Nisi granum frumenti cadens mortuum fuerit, ipsum solum manet. Si autem mortuum fuerit, multum fructum affert ». Cujus ex adipe cibabit nos Deus præbens panem vitæ, quem panem efficit Pater. Idem frumentum etiam lapis est. « Petra autem est Christus » ; ex qua petra non solum aqua potat populum, sed et mel satiat beatos famelicos. — Id vero tum ait de aqua circumcisionis; nunc vero loquitur de aqua vitæ, quæ exivit ex latere Jesu. — Hunc cibat Deus, quem de præceptis erudit, et satiat illum quem contemplatione sui lætificat. — Moraliter autem, forma vitæ philosopho dignæ, et sine mensura, et sola vitæ neeessitate encumscriptæ, suum habet locum præ cæteris proprium in solitudine, et hujusmodi vita plerumque hoc incolatu gaudet, unaque ubivis locorum cum volentibus obtinet, si quidem morum habitu, non loco philosophatur, id quod a nulla rerum omnium angustia coerceri possit.

v. 17. Vat. 4, I6. In fine idem Florentin. Cf. Joan. xii, 24. 1 Cor. xvi, 4,

Psalmus LXXXI.

Ψαλμὸς τῷ Ἀσάφ.

v. 1. Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. *Vat.* 677, 1.

Ὠριγένους, Βασιλείου. Εἴρηται γοῦν ἀλλαχοῦ ὅτι κρινεῖ ἀνάμεσον τῶν ἐθνῶν. Τοῖς γὰρ ἁγίοις οὐ τὸ κρίνεσθαι, ἀλλὰ τὸ μεῖζον τὸ διακρίνεσθαι. Διακρίνει γὰρ αὐτούς, ὥσπερ βασιλεὺς ἐν ἡμέρᾳ ἱλαρᾷ, ἕκαστον ἀμειβόμενος τῶν ἀξιωμάτων τιμῆς. Τίς μὲν ἄξιος ἀναστῆναι τὴν ἀνάστασιν τὴν ὡς ἡλίου; τίς δὲ τὴν ὡς σελήνης; καὶ τίς τὴν ὡς ἀστέρων; Στήσεται οὖν ἐν συναγωγῇ θεῶν, οὐκ ἀνθρώπων, ἤτοι κατ' ἄνθρωπον περιπατούντων, καὶ διακρινεῖ. Τίς μὲν τούτων τῶν θεῶν ἀνόλογον ἡλίου δόξαν ἔχει; τίς δε σελήνης; τίς δ' ἀστέρων; τί δὲ ποιεῖ ἡμᾶς ἀνθρώπους πεσόντας ἀπὸ τῆς θεότητος; Ἄκουε Παύλου περὶ τῶν μικροτέρων λέγοντος ἁμαρτημάτων· Ὅπου μὲν ἐν ὑμῖν ζῆλος καὶ ἔρις; οὐχὶ σαρκικοί ἐστε; καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; Κἀκεῖ γὰρ μονονουχὶ ἔκραγε καὶ λέγει· Ὁ μὲν Λόγος ὑμᾶς ἐκάλεσεν, ἵνα ἦτε θεοί· ὑμεῖς δὲ οὐ βούλεσθε τὰς πράξεις τοῦ σώματος θανατοῦν, ἵνα ἀποθεώτητε. Ἀλλ' ἐρχομένην Θεοῦ δωρεὰν εἰς ὑμᾶς ποιοῦσαν ὑμᾶς θεούς, ἁμαρτάνοντες ἀπωθεῖσθε. Ἑβραῖοι δέ φασιν· ὅτι ὁ Θεὸς ἔστη μέσον τῶν ἀρχόντων, ὡς παρὼν αὐτοῖς ἀοράτως· διὸ καὶ ἐν μέσῳ πολλῶν ἐλέγξει αὐτοὺς διὰ τῶν προφητῶν, εἰ ἀδίκως ἄρξουσι.

v. 2. Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

Πρόσωπα ἁμαρτωλῶν εἰσιν αἱ κακίαι, καθ' ἃς μορφοῦνται οἱ ἄδικοι. Κρίνων ἀδικίαν, κριτὴς ἀδικίας· κατ' ἐπακολούθημα δὲ, λαμβάνομεν πρόσωπον ἁμαρτωλῶν, πλου-

Psalmus ipsi Asaph.

v. 1. *Deus stetit in synagoga deorum; in medio autem deos dijudicabit.*

Origenis, Basilii. Igitur dictum alicubi est: *Judicabit in medio gentium.* Namque sanctis viris non competit judicari, sed multo magis discerni. Discernit enim eos, ut rex in solemni et fausta die, cuique distribuens, prout digni sunt, honorem. Quis vero dignus erit in resurrectione exurgere ut sol? Quis exurgere ut luna? quis exurgere ut astra? Stabit igitur in synagoga deorum, non hominum, sive ut homo ambulantium, et judicabit. Quis vero hos inter deos gloriam, qualis solis est, habet? Quis qualis est lunæ? Quis, qualis siderum? Quid vero facit nos homines a deitate excidere? Audi Paulum disserentem de minoribus peccatis. « Ubi jam in vobis est zelus et contentio? nonne carnales estis? Et secundum hominem ambulatis?» Hoc sane ibi tantum non clamavit, dicens: Verbum vos vocavit, ut dii sitis. Vos autem nolitis actus corporis morti tradere, ut Dii efficiamini. Sed venientem in vos gratiam Dei, ut Deos faciat vos, peccando repudiatis. Apud Hebræos legitur: *Deus stetit in medio archontum,* uti ipsis astans invisibili modo. Ideo in medio multorum contradicet illis per prophetas, si cum injustitia munus archontis egerint.

v. 2. *Usquequo judicatis iniquitatem, et facies peccatorum sumitis?*

Larva peccatorum sunt malitiæ, quarum formas induunt iniqui. — Qui judicat injuste est judex iniquitatis. Per consequentiam autem assumimus facies

Ps. lxxxi. v. 1. Laurent. Plut. v, 14. ii Cor. iii, 3.

v. 2. Vat. 4, 5, 14.

σίων ἢ δυνατῶν, ἢ ὡραίων, ἢ βιαίων, καὶ ὑβριστῶν πρόσωπα λαμβάνομεν, οἷς ἁμαρτωλοῖς εἶναι συμβέβηκε πολλάκις. Ἢ τάχα ὡς οἱ ἐν θεάτροις πρόσωπα λαμβάνοντες κατὰ τὰ προκείμενα δράματα, οὕτως καὶ ἡμεῖς τῶν ἀντικειμένων ἐνεργειῶν, ὁτὲ μὲν ὀργῆς, ὁτὲ φόβου, ὁτὲ λύπης.

peccatorum, divitum aut potentium aut illustrium, aut violentorum etiam et subsannantium. Vel forte, sicut illi qui in theatris personas propositis fabulis dramaticis aptas accipiunt, sic nos quoque facies sumimus inimicorum vitiorum, modo iræ, modo timoris, modo mæstitiæ.

v. 5. Ἐν σκότει διαπορεύονται.

Σκότος νῦν τὴν ἄγνοιαν λέγει.

v. 5. *In tenebris ambulant.*

Tenebras nunc dicit ignorantiam.

v. 6, 7. Ἐγὼ εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

v. 6, 7. *Ego dixi: Dii estis et filii excelsi omnes: vos autem sicut homines morimini, et sicut unus de principibus caditis.*

Θεοί εἰσιν ὅσοι ἔχοντες τὸν Λόγον, τηροῦσιν· ὁ γὰρ ἐνὼν αὐτοῖς Λόγος, οὐκ ἐᾷ ἀποθνήσκειν αὐτούς, ζωὴ τυγχάνων. Ἐπειδ' ἂν δὲ ἀποβάλωσι τὸν Λόγον, ὄντα ζωήν, ἀποθνήσκουσι· ἀποθνήσκουσι δὲ οὐχὶ τὸν κοινὸν θάνατον, ἀλλὰ τὸν ἑπόμενον τῇ ἁμαρτίᾳ, πίπτοντες παραπλησίως ἑνὶ τῶν ἀρχόντων· οὗτος δέ ἐστιν ὁ διάβολος.

Hi dii sunt quicumque Verbum habentes, retinent. Verbum enim cum illis unitum non sinit eos mori, quum sit illis vita. Postquam autem Verbum rejecerint, moriuntur. Moriuntur autem, non solum communi morte, sed et illa quæ peccatum consequitur, cadentes perinde ac unus ex principibus: iste autem est Diabolus.

v, 5. Vat. 5. Scholiolum fere recoxet primus Corderii anonymus.

v. 6. Vat. 4. Didymus apud Corderium plura retinuit, pauciora apud Maium.

Psalmus LXXXII.

v. 4. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. *Vat.* 677, 2.

v. 4. *Super populum tuum astute cogitaverunt consilium, et conspiraverunt adversus sanctos tuos.*

Ὁ δὲ Σύμμαχος οὕτως· Κατὰ τὸν λαόν σου πανούργως ὁμιλοῦσι, καὶ συμβουλεύονται κατὰ τοῦ ἀποκρύφου σου. Ἐπειδὴ γὰρ ἐξ αὐτῶν ἔμελλεν βλαστήσειν ὁ Χριστός, συνελήλυθε δὲ τὰ ἔθνη πρόῤῥιζον ἀνασπᾶσθαι τῶν Ἰουδαίων τὸ ἔθνος, διδάσκει τὸ ἅγιον Πνεῦμα, ὅτι οὐ καθ' ἡμῶν κέχρηνται ταῖς ἐπιβουλαῖς, ἀλλὰ καὶ κατὰ τοῦ ἐν ἡμῖν ἀποκεκρυμμένου Χριστοῦ, ὃν ἀνθήσειν ἐκ τῆς Ἰουδαίας φυλῆς προσηγόρευσε· τῆς γὰρ

Symmachus autem sic: *Contra populum tuum astuta colloquuntur, et deliberant adversus occultum tuum.* Quandoquidem ex illis oportuit Christum germinari, concurrerint vero gentes ad evellendum radicitus stirpem Judæorum, docet Spiritus sanctus, quod adversarii insidias non struunt adversus nos, sed contra Christum in nobis absconditum, quem florem ex tribu Juda

Ps. LXXXII, v. 4. Vat. 2, 7. Cf. Field II, 234, adducto Theodoreto, qui nostra leviter aucta et mutata subinde attexuit, præeunte Theodoro Heracl.

ῥίζης ἐκτεμνομένης, πόθεν ὁ καρπὸς φυήσεται;

v. 5. Εἶπαν· Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.

Οἱ μὲν θεομάχοι οὐ βούλονται ἔθνος Θεοῦ ἐν ἀνθρώποις ἐφεστάναι, ἀλλὰ καὶ τὸ ὄνομα τοῦ Ἰσραὴλ ἐξαλειφθῆναι σπουδάζουσιν· ὁ δὲ Θεὸς ἀεὶ ἔθνος ἐπὶ γῆς ἑαυτῷ καταρτίζων, καὶ μετὰ τὴν τοῦ προτέρου λαοῦ πτῶσιν, τὴν ἐξ ἐθνῶν ἐκκλησίαν συνεστήσατο, τὸ καινὸν καὶ νέον ἔθνος, τὸ καθόλου τῆς οἰκουμένης.

v. 7-9. Τὰ σκηνώματα τῶν Ἰδουμαίων, καὶ οἱ Ἰσμαηλῖται, Μωὰβ καὶ Ἀγγαρηνοὶ... καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν.

Ἰσμαὴλ, εἰσακουσμένος Θεοῦ. Ἀμαλὴκ λαὸς ἐκ λείχων. Ἀσσοὺρ, εὐθὺς ἀτείχιστος· δηλοῖ δὲ ὁ λαὸς Ἀμμονιτῶν καὶ Μωαβιτῶν διαφερόντως τοῦ Θεοῦ θρασυνθέντας καὶ τὰ λοιπὰ συναγείραντας ἔθνη.

v. 13. Κληρονομήσωμεν ἑαυτοῖς τὸ θυσιαστήριον τοῦ Θεοῦ.

Ψυχὴ δὲ καθαρὰ, κλῆρος Θεοῦ.

v. 14-19. Θοῦ αὐτοὺς ὡς τροχὸν κτλ.

Πρῶτον, θοῦ αὐτοὺς ὡς τροχόν· δεύτερον, ὡς κάλαμον· τρίτον, ὡσεὶ πῦρ· τέταρτον, ὡσεὶ φλόγα. Πέμπτον, οὕτως καταδιώξεις· ἕκτον, ἐν τῇ ὀργῇ σου· ἑπτὸν, πλήρωσον· ὄγδοον, ζητήσουσιν· ἔννατον, αἰσχυνθήτωσαν· δέκατον, ἐντραπήσονται· ἐνδέκατον, γνώτωσαν. Ὁ Θεός μου, φησὶν, οὕτως αὐτοὺς παρήγαγεν καὶ παρακύκλωσε ταῖς ἁμαρτίαις, ἤγουν τιμωρίαις, ὡς μηδεμίαν αὐτοῖς ἀνάπαυσιν γενέσθαι ὡς πάντων τροχῶν, φησὶ, παράγεσθαί τε καὶ κυλίεσθαι· ὁ τροχὸς μὲν γὰρ ἀφάπτεται τῆς γῆς.

v. 19. Καὶ γνώτωσαν ὅτι ὄνομά σου Κύριος.

Εἰς αὐτὴν ἁμαρτάνει γνῶσιν, ὁ τὸν πεφυκότα νοῦν ὁρᾶν τὴν γνῶσιν ἁμαρτάνειν κατεργάζων.

v. 5. Laurent. Plut. v, 14.
v. 7-9. Vat. 3.

orituram esse prædixerat. Nam radice excisa, unde fructus emerget?

v. 5. *Dixerunt: Venite et disperdamus eos de gente, neque memoretur nomen Israel ultra.*

Hostes in Deum pugnantes nolunt populum Dei inter homines subsistere, quin immo, ut nomen Israel aboleatur, enituntur. Deus vero qui semper populum in terra sibi instaurat, etiam post ruinam prioris populi, Ecclesiam ex gentibus constituit, ut recentem et novum populum in toto orbe futurum.

v. 7-9. *Tabernacula Idumaeorum et Ismaelitæ, Moab et Agareni... Assur venit cum illis.*

Ismael, *a Deo exauditus;* Amalec, *populus labiorum;* Assur, *promptus, sine muro.* Significat autem populus Ammonitarum et Moabitarum eos qui diversim in Deum insolescunt, et cæteras gentes ad consurgendum movent.

v. 13. *In hæreditatem nostram habeamus Dei sanctuarium.*

Hæreditas Dei, anima pura.

v. 14-19. *Pone eos ut rotam* etc.

Primum: *pone eos ut rotam;* secundo, *ut stipulam;* tertio, *sicut ignem;* quarto, *velut flammam;* quinto, *ita persequeris;* sexto, *in ira tua;* septimo, *imple;* octavo, *quærent;* nono, *erubescant;* decimo, *confundantur;* undecimo, *cognoscant.* — Deus meus, inquit, ita eos deduxit et conclusit in peccatis, seu in suppliciis, ut nulla supersit quies, et torqueantur, inquit, et involvantur in omnibus rotis. Rota enim terræ incumbit.

v. 19. *Et cognoscant quia nomen tibi Dominus.*

Contra ipsam scientiam peccat, qui peccare facit mentem, natam ad scientiam intuendam.

v. 13. Vat. 16.
v. 14, 19. Vat. 3. In fine Laur. id.

Psalmus LXXXIII.

v. 3. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου, ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. *Vat.* 678, 1.

Ζητήσεις πόθεν ἐπιποθεῖ ἡ ψυχή, οὐ τὸ ἐπιποθεῖν μόνον, ἀλλὰ καὶ τὸ ἐκλείπειν εἰς τὰς αὐλὰς τοῦ Κυρίου; πότερον ὑπομνησθεῖσα; σὰρξ δὲ ἀγάλλεται ἐπὶ Θεὸν ζῶντα, ἐπείπερ ὄψεται τὸ σωτήριον τοῦ Θεοῦ. — Αὐλαὶ Κυρίου αἱ θεωρίαι τῶν γεγονότων σωμάτων εἰσίν. ἐν ταύταις γὰρ ἡμεῖς δεῖ γενέσθαι τὸ πρότερον, εἶθ' οὕτως εἰσελθεῖν εἰς τὸν ναὸν τοῦ Θεοῦ, ὅστις ἐστιν ἡ θεωρία τῶν ἀσωμάτων.

v. 3. *Concupiscit et deficit anima mea in atria Domini. Cor meum et caro mea exultaverunt in Deum vivum.*

Quæres undenam concupiscat anima, non solum præ desiderio, sed usque ad deficiendum *in atria Domini?* Nonne quia recordata est? Caro autem exultat *in Deum vivum,* ideo quod videbit salutare Dei. *Atria Domini* sunt contemplationes existentium corporum. His enim meditationibus oportet nos primum inseri, deinde hoc modo ingredi in templum Domini, quod est theoria entium spiritualium.

v. 4. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσίαν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία αὐτῆς. Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων.

Βούλεται εἰπεῖν ὅτι ὡς στρουθίου δίκην, καὶ ἡμεῖς ἐπλανώμεθα· ὡς γὰρ ἐκεῖνα τοῦ μὴ ἔχειν καλιὰν πλανᾶται, πηξάμενα δὲ ἐν αὐτῇ διατρίβουσι, καὶ τὰ νοσσία ἐκθάλπουσιν, οὕτως καὶ ἡμεῖς πάλαι μὲν ἐπλανώμεθα. Νῦν δὲ ὑπὸ τῆς θείας χάριτος προκληθέντες, παρὰ τὰς σκηνὰς καὶ τὰ θυσιαστήριά σου, τοὺς ἰδίους ἐκπαιδεύομεν νεοττούς. — Καὶ Ἀκύλας οὕτως· Καίγε ὄρνεον εὗρεν ἑαυτοῦ οἶκον, καὶ στρουθὸς νοσσίαν ἑαυτῷ, οὗ ἔθετο τὰ νοσσία. Ἔθος δὲ τῇ γραφῇ τρυγῶσιν ἀφομοιοῦν τοὺς ἁγίους μυσταγωγούς, οἱ τῷ ἐπεικεῖ τρόπῳ τοὺς νεοττοὺς θάλπουσι παρὰ τοῖς θείοις θυσιαστηρίοις, ὥσπερ τρυ-

v. 4. *Etenim passer invenit sibi domum, et turtur nidum ubi ponat pullos suos. Altaria tua, Domine virtutum!*

Dicere vult, quod passeris instar nos quoque erravimus. Sicut enim hi aviculi vagantur, deficiente nido, in illo autem stabiliti morantur, et pullos confovent, sic et nos olim quidem erravimus, sed nunc divina provocati gratia, juxta tabernacula et altaria tua, nostros proprios pullos instituimus. — Et Aquila in hunc modum: *Etenim avicula invenit sibi domum et passer nidum sibi, ubi posuit pullos.* Sane mos Scripturæ est, turturibus assimilare sacros mystagogos, qui decenti modo pullos fovent, divina inter altaria, more turturum; quibus alumnis sunt suavia

Ps. LXXXIII, v. 3. Vat. 4. Mutila videntur.

v. 4. Vat. 4, 5. Cf. Field II, 235. Nemo non osculo salutabit canam memoriam scholæ christianæ umbratili altari consociatæ et nido assimilatæ turturum. Nec mirum, si suavia Adamantini verba partim transierint ad Theodorum Heracl. ad elegantem Apollinarium, ad poeticum Cyrillum Alexandrinum, cujus verba latine referre juvat: „Solet divina Scriptura turturibus assimilare sanctos doctores mysteriorum. Cur id, inquam? quia vocalissimus et suavis est turtur. Nobis autem discendi studiosis tales videntur sacrorum magistrorum sermones; sunt igitur hi spiritualium turturum instar etc.„ Vide græca et sequentia apud Maium *Bibl. V. PP.* t. III, 261.

γόνες· οἷς καὶ ἡδεῖς εἰσιν οἱ τούτων λόγοι, ὡς τρυγόνων πνευματικῶν. Ἢ οὕτως· στρουθία μὲν τῶν ἀνθρώπων αἰνίττεται τὰς ψυχὰς τὰς ὑπὸ τοῦ νοητοῦ ἐχθροῦ ἀγρευομένας· τρυγόνες δὲ τὰς ἐν ἁγνείᾳ καὶ σωφροσύνῃ ζώσας ψυχάς· λέγει οὖν ὅτι πᾶσα ψυχὴ ταύτην εὑρήσει καταφυγὴν, τὴν εἰς τὸ θυσιαστήριόν σου εἴσοδον. Δεῖ πρότερόν τινα σπουδάσαι ἑαυτῷ οἶκον εὑρεῖν, ἐν ᾧ δυνήσεται δέξασθαι Θεὸν, ἔπειτα δὲ καὶ ἄλλους ποιῆσαι οἴκους Θεοῦ. Χρησώμεθα δὲ τοῖς ῥητοῖς πρὸς τοὺς ἀκαθάρτους ἀνθρώπους καὶ διδάσκειν ἐπιχειροῦντας. Κατὰ τὴν ἔννοιαν τοῦ ῥητοῦ, μείζων ἡ τρυγὼν τοῦ στρουθίου.

magistrorum colloquia, utpote turturum spiritualium. Vel in hac sententia: passeres quidem significant animas, quas spiritualis inimicus more venatoris insequitur; turtures vero eas animas, quæ in puritate et castitate vivunt. Ait ergo quod omnis anima hoc perfugium inveniet, hunc juxta tuum altare accessum. Oportet primum nonnulli domum sibi inveniant, in qua valeant Deum excipere, deinde et alias domus Dei condant. His verbis utamur, dirigendis ad innocuos viros et qui erudiri solliciti sunt. Quod spectat ad loci sententiam, turtur potior est passere.

v. 6, 7. Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο ἐν τῇ κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο.

Αἱ ἀναβάσεις αὗται τῶν γνώσεων τῇ καρδίᾳ συμβαίνουσιν ἐκ τῆς ἀντιλήψεως τοῦ Θεοῦ, τουτέστιν καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀναβαίνει τὰ περὶ τῆς κρίσεως, καὶ διατίθεται ἐν αὐτῷ, καὶ φυλάττει τὰς ἐντολὰς τοῦ Θεοῦ. Κοιλὴ δὲ κλουθμῶνός ἐστιν, ἤ τοι τὸ ἀνθρώπινον σῶμα, ἢ τὸ συγγενὲς τούτου κόσμος.

v. 6, 7. *Ascensiones in corde suo disposuit, in vallem lacrymarum, in locum quem posuit.*

Cordi subeunt ascensiones scientiarum, ipsa Dei favente tutela, id est: semper in corde justi ascendunt cogitationes de judicio, easque in se disponit, servatque mandata Dei. Vallis vero fletus est corpus humanum, vel congener illi mundus.

v. 8. Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν.

Σύγκρισις ἁγίας γνώσεως πρὸς γνῶσιν ανθρωπίνην· σύγκρισιν ποιησαμένοις τῆς γνώσεως τῆς τῶν ἔξωθεν σοφῶν καὶ τῆς τοῦ Θεοῦ, ἀποφαίνεται κρείσσω εἶναι τὴν μικρὰν μερίδα παρὰ Κυρίου ἢ τοὺς θησαυροὺς μετὰ ἀφοβίας, τοὺς παρὰ τῷ Σωλομῶνι λεγομένους.

Καὶ μετ᾽ ὀλίγον· Ὁ αὐτός φησιν· ἐξελεξάμην παραῤῥίπτεσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου, μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώματι ἁμαρτωλῶν· οὕτω δή μοι ὁ θεῖος ἀξιέραστος οἶκος, ὡς αἱρεῖσθαι παρὰ τοῦτον, καὶ ἐπ᾽ ἐδάφους ἐῤῥίφθαι καὶ πρὸ τῶν τούτου καλινδεῖσθαι θυρῶν, ἢ ἐν ταῖς μεγάλαις καὶ λαμπραῖς τῶν παρανομίᾳ συζώντων οἰκίαις

v. 8. *Ibunt de virtute in virtutem.*

Comparatio est sacram inter gnosin et humanam. Instituta collatione inter scientiam sophorum foris stantium et theognosiam, palam est præstare vel portionem exiguam apud Dominum, quam thesauros sine timore apud Salomonem memoratos.

Ac paulo post: Idem David ait: « Elegi abjectus esse in domo Domini magis quam habitare in tabernaculis peccatorum. » Ita vero prædilecta mihi est domus Dei, ut me ad eam versus attollam, ejusque in pavimento prosterni malim, et ipsius ante fores convolutari, magis quam in amplis habitare et pellucidis

v. 6, 7. Vat. 4, 5, 6.

v. 8. Iidem codd. cf. Pr. xv, 16, Ps. LXXXIII, 11.

διαιτᾶσθαι· καὶ γὰρ ἐκείνους ἐδίδασκεν ἡ χάρις τοῦ πνεύματος μὴ παραβλέπειν τοῦ θείου οἴκου τὴν ἐρημίαν, καὶ ἡμεῖς παιδευόμεθα τοὺς τῷ Θεῷ ἀφιερωμένους οἴκους ποθεῖν ἀεὶ, ὅμοιον ὡσεὶ λέγοι· καὶ μικρός τις καὶ εὐτελὴς εἶναι μᾶλλον βουλοίμην ἂν ἐν τῇ ἐκκλησίᾳ, ἢ μέγας ἐν τῷ ἁμαρτωλῷ λαῷ.

v. 9, 10. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου. Ὑπερασπιστὰ ἡμῶν ἴδε, ὁ Θεὸς, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου.

Ἀντὶ τοῦ· ἐπέμενον ὑμῶν προϊστάμενος, ὑπερασπίζων καὶ φροντίζων καὶ τῆς εὐπρεπείας τῆς βασιλείας ἡμῶν. Χριστὸν γὰρ λέγει ἐνταῦθα, τὸν ἐκ Βαβυλῶνος ἐπανελθόντα βασιλέα τὸν Ζοροβαβέλ. Ἢ πρόσωπον χριστοῦ λέγει τὸν σεσωσμένον λαὸν, ὃν καὶ Παῦλος μέλη Χριστοῦ καὶ σῶμα ἐκάλει.

v. 12. Ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος, ὁ Θεὸς χάριν καὶ δόξαν δώσει.

Ἔλεον καὶ ἀλήθειαν, ἀντὶ τοῦ· ἐλεήμονα καὶ ἀληθινὸν ἀγαπᾷ Κύριος. Συνηθὲς γὰρ τῇ γραφῇ τὴν ἕξιν ἀντὶ τοῦ μετέχοντος λέγειν· οὐχὶ δύο λέγει πράγματα, ἀλλ᾽ ἥδεται τῷ ἐλεεῖν καὶ ἀληθεύειν ἀγαπᾷ· ἢ ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ, οὐ τὰς δι᾽ αἱμάτων θυσίας, ἀλλὰ τὸ ποιεῖν ἔλεος καὶ ἀγαπᾶν τὴν ἀλήθειαν, — Χάριν, φησὶ, θείαν οἱ τοιοῦτοι ἐκ τῶν τοῦ παναγίου Πνεύματος κρουνῶν ἀρύοντες, οἱ τὴν ἀλήθειαν δηλαδὴ καὶ τὸν ἔλεον ἀγαπῶντες.

v. 13. Κύριε τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Κατάδηλον πάντῃ τοῦ ψαλμοῦ τὸ ἀκροτελεύτιον· μακαρίζει γὰρ καὶ ζηλωτὸν ὀνομάζει τὸν πάσης μὲν βιωτικῆς εὐκληρίας καταφρονοῦντα, μόνῃ δὲ ἐπὶ τὸν Θεὸν ἐλπίδι θαρροῦντα.

ædibus viventium in impietate. Etenim nos spiritus gratia edocuit, non despicere divinæ domus solitudinem; nosque in id instruimur, ut domus Deo sacratas perpetuis habeamus in votis, perinde ac si dicat: Et modicus et vilis esse malim prorsus, dum in ecclesia sim, quam jactari magnus in peccatorum populo.

v. 9, 10. *Domine Deus virtutum, exaudi orationem meam. Protector noster aspice, Deus, et respice in faciem Christi tui.*

Id est, persevera ita nos tueri et protegere, et curæ habere decus regni nostri. Christum enim vocat hic regem a Babylone reducem, Zorobabel. Vel faciem Christi appellat populum salute incolumem, quem Paulus vocavit Christi membra et corpus.

v. 12. *Quoniam misericordiam et veritatem diligit Dominus, Deus dabit gratiam et gloriam.*

Misericordiam et veritatem, id est, misericordem et veracem diligit Dominus. Consuevit enim Scriptura habitum agendi pro agente dicere. Non duas res dicit, sed placet ei misericordiam exerceri, et dici verum lubet. Vel *misericordiam ac veritatem diligit,* non sacrificia cruenta, sed facere misericordiam et diligere verum. — Gratiam divinam dictum est hauriri ex sanctissimi Spiritus fontibus, ab iis scilicet qui veritatem et misericordiam diligunt.

v. 13. *Domine virtutum, beatus homo qui sperat in te.*

Plane perspicua est ultima psalmi clausula. Beatum enim renuntiat, et æmulatione dignum asserit eum, qui omnem vitæ jucunditatem aspernatur, sola vero spe in Deum confidit.

v. 9, 10. Vat. 4, 12, 15. I Cor. VI, 5. Respici Babylonem, et Zorobabel vocari regem, dubium ingerit de scholii sinceritate.

v. 12. Vat. 2, 4, 7. Codd. ἀληθεύειν ἀγαπᾶν, deinde ἀλήθειαν ἀγαπᾶν.

v. 13. Vat. 2.

Psalmus LXXXIV.

v. 1. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός. *Vat.* 678, 2.

Οἱ μὲν υἱοὶ Κορὲ τὰ αὐτὸ ἔλεγον δύο ἢ τρεῖς· ἓν μὲν δὲ λέγεται, ἵνα τὸ αὐτὸ λέγωμεν πάντες. Ἐπινίκιος καὶ οὗτος τῶν ἐπανελθόντων ἐκ Βαβυλῶνος· ἐσχημάτισται δὴ, ὡς τοῦ Θεοῦ στρατηγοῦντος, καὶ λαβόντος τὴν αἰχμαλωσίαν, καὶ διὰ χρόνου ἐπανερχομένου εἰς Ἱερουσαλὴμ, καὶ τοῦ λαοῦ καταδιελόντος ἑαυτὸν δίχα, τοῦ προηγουμένου τε καὶ ἑπομένου, καὶ ὡς νικητὴν ἀνευφημοῦντος τὸν τῶν ὅλων Θεόν. Προθεσπίζει δὲ ἐνταῦθα μετὰ τῆς σκιᾶς καὶ τὴν ἀλήθειαν, ἤτοι μετὰ τὴν τῶν Ἰουδαίων ἐκ Βαβυλῶνος ἐπάνοδον καὶ τοῦ παντὸς κόσμου τὴν σωτηρίαν.

v. 1. *In finem, filiis Core psalmus.*

Inter filios Core idem recitabant modo duo, modo tres. Unum vero dicitur, ut idem omnes nos repetamus. Triumphalis quoque est hymnus iste revertentium ex Babylone. Expolitus sane, ac si Deus agmen duceret, captivosque susciperet, ac pro decursu temporis, in Hierusalem reverteretur, populusque bifariam divisus propter ipsum, præcederet sequereturque, ac ducem veluti victorem Deum universorum faustis acclamationibus celebraret. In hoc autem hymno vaticinatur post umbram fore etiam veritatem, sive post Judæorum a Babylone reditum, etiam totius orbis salutem.

v. 2, 3. Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας τὰς ἁμαρτίας αὐτῶν.

Εὐδοκεῖ Κύριος τὴν ἀγαθὴν καὶ σπουδαίαν γῆν τυγχάνουσαν, διὰ τοῦ δέχεσθαι τὸν παρ' αὐτοῦ σπορὸν, καὶ ὡς ἕκατον καρποφορεῖ· καὶ ἀφίησι μὲν τὰς ἀνομίας διὰ τοῦ βαπτίσματος· ἐπικαλύπτει δὲ τὰς ἁμαρτίας διὰ τῆς πικρᾶς μετανοίας. Νῦν μὲν τὴν γῆν σου, κατωτέρω δὲ τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν, και κατωτέρω δὲ καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς· ἐν τῇ εἰς τὴν γῆν καθόδῳ τοῦ σωτῆρος ἡμῶν, εὐδόκησεν ὁ Θεὸς τὴν γῆν ἑαυτοῦ. Ἡ γῆν σου, ἀντὶ διαστολῆς ἀλλοτρίας λέγει τὴν Ἰουδαίαν, τῷ διὰ τῆς πίστεως γενομένῳ αὐτοῦ λαῷ. Λέγει δὲ

v. 2, 3. *Benedixisti, Domine, terram tuam, avertisti captivitatem Jacob. Remisisti iniquitatem plebi tuæ, operuisti peccata eorum.*

Benedicit Dominus terram, quae bona est diligenterque ferax, quod ab ipso semen recipit, et fructum quasi centuplum dat; nequitias vero remittit per baptismum, sed operit peccata per acerbam pœnitentiam. Nunc quidem dicit *terram tuam;* inferius autem (v. 10) *ut inhabitet gloria in terra nostra.* Inferius vero (v. 13) *Et terra nostra dabit fructum suum;* in terram delapso Salvatore nostro, tum benedixit Deus terram suam. Vel *terram tuam* ait per oppositionem inter Judæam et populum qui ejus fa-

Ps. LXXXIV, v. 1. Vatic. 4. Plura detraximus e procemio psalmi quod occurrit apud Corderium t. II, p. 789 in quodam anonymo, cæteris interpretibus constanter præfixo, quamvis insulsa tantum proferat scholiola præter proœmia sat insignia, quæ non semel, ut infra in ps. LXXXVI cum Origene conveniunt. Unde suspicio arridet latere apud hunc anepigraphum libellum Origenis in titulos psalmorum, hactenus detegendum, hic saltem laciniis discerptum. Sequentia Didymus apud Maium imitatur.

v. 2, 3, Vat. 2, 15. Zachar. VIII, 22.

τὸν ἐξ ἐθνῶν κατὰ τὸ εἰρημένον ὑπὸ Ζαχαρίου τοῦ προφήτου· Ἐκείνῃ τῇ ἡμέρᾳ καταφεύξονται ἐπὶ τὸν Κύριον ἔθνη πολλά, καὶ ἔσονται αὐτῷ εἰς λαόν.

v. 8. Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

Οὐ μόνον ὁ ἐλεούμενος ὁρᾷ τὸν δεικνύμενον αὐτῷ ἔλεον ἀπὸ Θεοῦ, ἀλλὰ πολλῷ μᾶλλον ὁ φωτιζόμενος εἰς γνῶσιν τοῦ ἐλέου, ὥστε ἂν εἰπεῖν· Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. Νῦν ἐνικῶς τὸ σωτήριον ἡ ἀρετή ἐστι, τὸ σωτήριον τοῦ Θεοῦ ὁ Χριστός.

v. 9. Ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας πρὸς αὐτὸν καρδίαν.

Καὶ ἐπὶ τοὺς ἀποστόλους αὐτοῦ καὶ πάντας τοὺς πιστεύοντας εἰς αὐτόν, ὁ σωτὴρ ἐν τοῖς εὐαγγελίοις φησιν· Εἰρήνην τὴν ἐμὴν ἀφίημι. Δείκνυσι δὲ καλῶς ὡς ἡ πρὸς τὸν Θεὸν ἐπιστροφὴ μηκέτι πταιόντων δικαιοσύνης ἀρχή, διὸ καὶ πελάζει φοβουμένοις ἡ σωτηρία, καὶ ἣν ἀφῆκας, ἀπολαμβάνουσι σὺν εὐκλείᾳ πατρίδα.

v. 10. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ.

Εἰ ἀρχὴ σοφίας φόβος Κυρίου, σοφία δὲ ἡμῶν ἐστιν ὁ Χριστός, καλῶς οὖν λέγεται ὁ σωτὴρ ἐγγὺς εἶναι τῶν φοβουμένων αὐτόν.

v. 8. Vat. 2. Ps. c, 8.
v. 9. Vat. 2, 3, 5, 6. Joan. xiv, 27.

ctus est per fidem. Significat nempe populum ex gentibus conflatum, secundum prophetæ Zachariæ oraculum: « In die illa confugient ad Dominum gentes multæ, et erunt ipsi in populum. »

v. 8. *Ostende nobis, Domine, misericordiam tuam, et salutare tuum da nobis.*

Non modo qui misericordiam consequitur, ostensam cernit misericordiam Domini, sed multo magis, qui illuminatus est in cognitionem misericordiæ, ut dicere possit: « Misericordiam et judicium cantabo tibi, Domine. » Nunc proprie salutare virtus est, salutare Dei, Christus.

v. 9. *Quoniam loquetur pacem in plebem suam, et super sanctos suos, et super revertentes ad eum corde.*

Et pro apostolis suis et pro omnibus in se credentibus Salvator ait in evangeliis: « Pacem meam relinquo vobis. » Pulchre autem ostendit quod reditus ad Deum non est justitiæ initium, in peccatoribus. Ideo salus appropinquat timentibus, et quam dimisere patriam, cum gloria suscipiunt.

v. 10. *Verumtamen prope timentibus eum salutare ipsius.*

Si initium sapientiæ est timor Domini, sapientia autem nostra Christus est, egregie ergo dicitur: Salvator *prope est timentibus eum.*

v. 10. Vat. 4, 5. Consentit Laurent. Plut. v, 3. Eccli. i, 16.

Psalmus LXXXV.

v. 1. Προσευχὴ τῷ Δαυίδ. *Vat.* 679, 1.

Προσευχή ἐστιν ἡ μετὰ δοξολογίας περὶ μειζόνων ἀναπεμπομένη.

v. 2. Σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ.

Δοῦλος Θεοῦ, ὁ μὴ δουλεύων ἁμαρτίᾳ, μηδέ τινι πάθει ὑποκείμενος, ἐν μόνῳ δὲ ἐλπίζων Θεῷ. Ἐγὼ ἤλπισά σοι, δέσποτα, δὸς ἐλπίδι τῆς σωτηρίας ἀντίδοσιν. — Ἡ γνῶσις τοῦ Θεοῦ σωτηρία ἐστὶ ψυχῆς. Ἐπειδὴ ὅσιος ἑαυτῷ κατηγόρευσεν, ἐπὶ τὸ ταπεινὸν πάλιν καταφέρει τὸν λόγον, δοῦλον ἑαυτὸν ἀπογραφόμενος τοῦ Θεοῦ, καὶ ἐπ' αὐτῷ μόνῳ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχειν ἐπαγγελλόμενος.

v. 4. Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου.

Εὔφρανον, ἤτοι διὰ ζωήν. Διδάσκει ἡμᾶς ὁ λόγος, ὡς τὸν βουλόμενόν τε παρὰ τοῦ Θεοῦ λαβεῖν ἀγαθὸν, ἀδιάλειπτον δεῖ εἶναι εἰς προσευχήν. Αἴρει πρὸς Κύριον τὴν ἑαυτοῦ ψυχὴν, ὁ διὰ πράξεως καὶ θεωρίας κουφίζων αὐτήν.

v. 5. Ὅτι σὺ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

Ἀντὶ τοῦ ἐπιεικὴς Ἀκύλας καὶ Θεοδοτίων ἱλαστὴς εἰρήκασιν· ὁ δὲ Σύμμαχος· Καὶ ἀφιείς. Ἐπήγαγε δὲ τοῦτο θεραπεύων τὸ δοκοῦν φορτικόν.

v. 8. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε.

Τίνι γὰρ εἶπεν ποτὲ ὁ Πατήρ· Κάθου ἐκ δεξιῶν μου;

v. 9. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου, Κύριε.

Εἰ πάντα τὰ ἔθνη ἥξει καὶ προσκυνήσει

v. 1. *Oratio ipsi David.*

Oratio cum voto est juncta doxologiæ et pro majoribus rebus emissa.

v. 2. *Salvum fac servum tuum, Deus meus, sperantem in te.*

Servus Dei est qui peccato non servit, neque passioni subjacet, sed qui in solo Deo sperat. « Ego in te speravi, Domine. » Da spei retributionem in salute. — Scientia Dei salvatio est animæ. Quoniam justus seipsum accusat, ad humilitatem iterum convertit sermonem, se ipsum ascribens Dei servum, et in Deo solo spem salutis se habere professus.

v. 4. *Lætifica animam servi tui, quoniam ad te, Domine, levavi animam meam.*

Laetifica, id est per vitam. Nos sermo docet opus esse, si quis velit a Deo bonum recipere, indefessas effundere preces. Ad Deum levat animam suam, qui per actionem et contemplationem eam leviorem facit.

v. 5. *Quoniam tu, Domine, suavis et mitis et multæ misericordiæ es omnibus invocantibus te.*

Pro hac voce *mitis,* Aquila et Theodotion dixerunt *propitius,* sed Symmachus: *et remittens.* Id vero subdidit, ut temperaret quod videtur gravius.

v. 8. *Non est similis tui in diis, Domine.*

Cui enim dixit unquam Pater : « Sede a dextris meis ? »

v. 9. *Omnes gentes quascumque fecisti, venient, et adorabunt in conspectu tuo, Domine, et laudabunt nomen tuum, Domine.*

Si omnes gentes venturæ sint ad no-

Ps. LXXXV, v. 1. Vat. 4.
v. 2. Vat. 4, 12. Ps. III, 17.
v. 4. Vat. 2, 3, 5, 12.

v. 5. Laurent. Plut. v. 3. Field. II, 237, ubi Symmachus: Ἀφίων.
v. 8, 9. Vat. 4, 12 Ps. CIX, 1.

τὸ ὄνομα Κυρίου, ἥξει δηλονότι καὶ τὰ ἔθνη τὰ τοὺς πολέμους θέλοντα· εἰ δὲ οὕτω πᾶσα ἄρα φύσις λογικὴ προσκυνήσει ἐνώπιον Κυρίου, ἔπειτα δὲ καὶ δοξάσει τὸ ὄνομα αὐτοῦ, ὅπερ σημαίνει τὸν ἐν αὐτῷ ὑπάρχοντα Πατέρα.

v. 11. Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου.

Ἐγώ εἰμι ἡ ὁδὸς, φησὶν ὁ Χριστός. Καὶ πάλιν· Ἐγώ εἰμι ἡ ἀλήθεια. Εὔχεται τοίνυν πρῶτον μὲν ἐν αὐτῷ γενέσθαι, ὡς ὁδὸν τὸν Χριστὸν, τουτέστιν ὡς ἀρετὴν, ἔπειτα δε ὡς ἀλήθειαν, ὅπερ ἐστι τῆς θεωρίας.

v. 17. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν, ὅτι σὺ, Κύριε, ἐβοήθησάς μοι, καὶ παρακάλεσάς με.

Οὐχ ἁπλῶς σημεῖον, ἀλλὰ σημεῖον ἀγαθὸν, ἀντὶ τοῦ· Ποίησον σημεῖον ἐμοὶ φέρον τὸ σωτήριον. Καὶ ἰδέτωσαν οἱ μισοῦντές με, τὴν εἰς ἐμὲ τοιγαροῦν πρόνοιαν δυσμενεῖς θεασάμενοι αἰσχύνης ἀναπλησθήσονται, καὶ ἐπονείδιστοι παρὰ πᾶσι γενήσονται. Σημεῖα ἀγαθά ἐστιν τὰ χαρίσματα τοῦ Πνεύματος τοῦ ἁγίου, ταῦτα γὰρ μάλιστα αἰσχύνονται καὶ οἱ δαίμονες. — Καὶ παρεκάλεσάς με. Παράκλησίς ἐστιν ἀνάκτησις ψυχῆς ἀπὸ πολλῶν κόπων. Ἢ ἐστί· Βεβαιώθημαι καὶ παρακέκλημαι.

men Domini adorandum, venient dubio procul etiam gentes quæ bella volunt: quod si ita est, tota ergo natura ratione ornata prona coram Domino adorabit, postea vero laudabit quoque nomen ejus, quod significat Patrem in ipso residentem.

v. 11. *Deduc me, Domine, in via tua, et ambulabo in veritate tua.*

«Ego sum via», ait Christus, et porro: «Ego sum veritas.» Interea postulat primum Christum tamquam viam sibi esse, id est ut virtutem, deinde ut veritatem, quæ in contemplatione est.

v. 17. *Fac mecum signum in bonum, et videant qui oderunt me, et confundantur, quoniam tu, Domine, adjuvisti me, et consolatus es me.*

Non simpliciter signum quærit, sed signum bonum, videlicet: fac mihi signum proferens salutem. *Et videant qui oderunt me, et confundantur.* Et enim factam erga me providentiam quum adversarii viderint, pudefient et ridiculi omnibus evadent. Signa bona sunt spiritus charismata, quæ potissimum dæmones erubescere faciunt. — Et *consolatus es me.* Consolatio est recreatio animæ a multis angustiis. Vel dicit: Confirmatus sum et consolatus.

v. 11. Vat. 4, 12. Joan x, 1.

v. 17. Vat. 3, 4, 7, 12.

Psalmus LXXXVI.

v. 1. Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς. *Vat.* 679, 2.

Ἐπινίκιος οὗτός ἐστιν, ἀπαλλαγείσης τῆς πόλεως· προθεσπίζει δὲ καὶ τὴν κληρονομίαν καὶ σωτηρίαν τῶν ἐθνῶν.

v. 2. Οἱ θεμέλιοι ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.

v. 1. *Filiis Core psalmus odæ.*

Etiam triumphalis psalmus est, civitate liberata. Sed præcinit quoque haereditatem et salvationem gentium.

v. 2. *Fundamenta ejus in montibus san-*

Ps. LXXXVI, v. 1. Vat. 4. Anonymus supra notatus eadem fere habet, quæ Theodoretus liberius explicuit.

v. 2. Vat. 4, 5. Idem Theoderetus initium scholii suum fecit usque ad Ephes. II, 20, comite Theodoro Heracl. qui legit apud Aquilam ἐν ὄρεσι ἡγιασμένοις, at Field. 11, 238 habet ἡγιασμένου cum Anonymo Corderii II, 772.

Ἀγαπᾷ Κύριος τὰς πύλας Σιων ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Θεμέλια τῆς εὐσεβείας τὰ θεῖα παιδεύματα· ὄρη δὲ ἅγια, ἐφ' ὧν ταῦτα πέπηγε τὰ θεμέλια, οἱ τοῦ Σωτῆρος ἀπόστολοι. Περὶ τούτων γὰρ ἔφη καὶ Παῦλος· Ἐποικοδομηθέντες εἰς τὸ θεμέλιον τῶν ἀποστόλων καὶ προφητῶν· ἐπὶ τούτων τῶν ἁγίων ὀρέων ὁ δεσπότης Χριστὸς κατέπηξε τὰ τῆς εὐσεβείας θεμέλια. Ἢ θεμελίους Θεοῦ τοὺς τῆς πόλεως θεμελίους καλεῖ, ὡς δι' αὐτὸν οὐκ ἀνατραπέντας. Ὄρη δὲ ἅγια, τὴν Σιὼν καὶ τὴν Ἱερουσαλὴμ, ὡς τοῦ ἁγίου Θεοῦ δείξαντος ἐκεῖ τὴν ἑαυτοῦ κατοικίαν, δι' ἣν οὐ παρεδόθη καὶ αὐτὰ τοῖς Ἀσσυρίοις. Διό φησιν· Ἕστηκα καὶ ἅπαντα σῶα ἐπὶ τῆς οἰκείας ἕδρας. — Ἡγοῦμαι καλῶς μὴ προσκεῖσθαι τὸ τίνος οἱ θεμέλιοι αὐτοῦ, ἵν' ἐπιζητήσαντες εὕρωμεν ἐν τοῖς ἐφ' ἑξῆς τὸν λεγόμενον τεθεμελιωκέναι τὴν Σιὼν ἄνδρα, ὃς καὶ ἐγεννήθη ἐν αὐτῇ, καὶ ἐθεμελίωσεν αὐτήν. Ὁ δὲ Ἀκύλας· Θεμελίωσις αὐτοῦ ἐν ὄρει ἡγιασμένῳ. Σημαίνει δὲ τὸ ἑδραῖον τῆς τῶν Ἑβραίων πολιτείας, καὶ τὸ οἰκεῖον καύχημα ἐν τῷ ὄρει τῆς Σιὼν εἶναι, οὗ καὶ ὁ ναὸς ἵδρυτο. Ὄρεα δὲ καὶ πόλιν εἶπε, σεμνύνων τὸ Σιὼν ὄρος. Ἀγαπᾷ Κύριος καὶ τὸν πρακτικὸν καὶ τὸν θεωρητικόν. Ἰακὼβ γὰρ πτερνιστὴς ἑρμηνεύεται, ἡ δὲ Σιὼν σκοπευτήριον.

v. 5. Μήτηρ Σιὼν ἐρεῖ· Ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.

Μητέρα ἕκαστος τὴν Σιὼν ὀνομάζει, καὶ πᾶς ἄνθρωπος ἐρεῖ· Μήτηρ Σιών. Ὁ μὲν παῖς Ἰησοῦς γεννᾶται ἐν βηθλεέμ· ὁ δὲ ἄνθρωπος ἐν τῇ Σιών, διὰ τὸ πρᾶξιν μὲν τίκτεσθαι ἐν τῇ ψυχῇ, σοφίαν δὲ γεννᾶσθαι ἐν τῷ νῷ.

ctis. Diligit Dominus portas Sion super omnia tabernacula Jacob.

Fundamenta religionis sunt divina præcepta. Montes autem sancti, super quos structa fuere fundamenta, sunt Apostoli; de his enim Paulus dicit: « Superædificati in fundamentum apostolorum et prophetarum. » Sacros super hos montes Dominus Christus compegit religionis fundamenta. Vel positos in fundamenta Dei vocat, qui urbem stabiliunt, ut qui propter illum non subversi sunt. Sanctos autem montes ait montes Sion et Jerusalem; ac si Deus sanctus declaraverit ibi suum domicilium, propter quod neque hi montes Assyriis traditi fuerunt. Ideo ait: Statui etiam fore ut omnia integra stent in propria sede. Arbitramur apte non designari quis sit ille cujus sunt fundamenta, unde quæritando inveniamus in his quæ sequuntur, hominem a quo Sion fundata fuit, illum qui natus est in ea, et fundavit eam. Sed Aquila ait: *Fundatio ejus in monte sanctificato.* Significat autem stabilimentum rei Hebræorum publicæ, et gloriosum urbis decus, ubi templum erectum est. Montem vero et urbem dixit respectu ad montem Sion. Diligit porro Dominus virum actuosæ et contemplativæ vitæ deditum. Jacob enim supplantator etymo intelligitur, Sion vero speculæ statio.

v. 5. *Mater Sion dicet: Homo, et homo natus est in ea.*

Matrem quisque vocat hanc Sion, et omnis homo dicet: Mater Sion. Jesus natus est in Bethleem, ut puer; ut homo, in Sion; ac si actio nascatur in anima, sapientia vero gignatur in mente.

v. 5. Vat. 2, 4, partim Laur. Pl. vi, 3. Origenes interpunxisse videtur: Μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, quæ lectio tantum non arridet, immo in Vat. B στίχος clauditur in prima voce ἄνθρωπος. — Ambiguitas vocis θεμέλιος. tam *fundamentum* quam *virum in fundamento positum* significantis, obscuritatem scholio creavit.

v. 6. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ.

Τοῦτο ὁ Σύμμαχος οὕτως· Κύριος ἀριθμήσει γράφων λαοὺς, οὗτος ἐτέχθη ἐκεῖ. Ὁ γὰρ τοὺς ἐν αὐτῇ πολιτευομένους λαοὺς τῆς παρ' αὐτοῦ γραφῆς ἀξιῶν, ἐν αὐτῇ ἐγεννήθη, Κυρίος ὢν καὶ Θεός· ταύτην δὲ τὴν ἀρίθμησιν καὶ ὁ Κύριος ἐδίδαξεν, εἰπών· Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠρίθμηνται. Ἢ τῶν λαῶν, φησὶ, καὶ τῶν ἀρχόντων, τῶν ἐν αὐτῇ τῇ ἐκκλησίᾳ γεγεννημένων, ἀρίθμησιν ὁ Κύριος διηγήσεται, τὴν γενομένην ἐν τοῖς οὐρανοῖς, ἣν αὐτὸς αὐτοῖς διηγήσατο, λέγων· Χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς. — Ἢ καὶ οὕτως· Ἀναστήσει, φησὶ, τὰ πάτριά σου πάλιν, καὶ ἔσονταί σοι σύνοδοι ἐν τῷ ναῷ, καὶ ἀναγνωσθήσονται θεῖαι γραφαὶ, δι' ὧν ὁ Θεὸς τοῖς λαοῖς δοκεῖ διαλέγεσθαι· ἐν αἷς συνόδοις, φησὶν, καὶ ἄρχοντες ἔσονται, πάλιν λέγων διδασκάλους καὶ ἱερεῖς. Καὶ τί δεῖ τά πολλὰ λέγειν; φησὶν οὕτως· Ἔστι πεπολισμένη καὶ πληθύνουσα, ὡς ἂν πόλις οἰκισθείη παρὰ τῶν ἀνθρώπων ἀλύπως διαγόντων ἐν αὐτῇ καὶ μετὰ πλείστης εὐφροσύνης.

v. 6. *Dominus narrabitur in scripturis populorum et principum, horum qui fuerunt in ea.*

Quod sic apud Symmachum: *Dominus numerabit scribens populos: ipse ibi natus est.* Qui enim populos in ea jure civitatis donatos dignatur sua notare scriptura, in ea natus est, qui Dominus et homo est. Hanc numeris conscriptionem Dominus edocuit, aiens: « Vobis autem etiam capilli capitis vestri numerati sunt.» — *Vel populorum,* ait, *et principum* qui in ipsa ecclesia generati sunt, numerationem Dominus enarrabit conscriptam in cœlis, quam illis ipse recensuit, dicens: « Gaudete, quia nomina vestra scripta sunt in cœlis. » — Vel etiam taliter: Restituet, inquit, patrios ritus tuos, et tibi coetus erunt in templo, et recitabuntur divinæ Scripturæ, per quas palam est Deum populos alloqui. In his cœtibus, inquit, aderunt etiam principes, sic rursus dicens magistros et sacerdotes. Sed quid plura? Sane urbis est civili ordine perpolita, et conferta turbis, ita ut habitetur incolis a mœrore alienis et cum plurima jucunditate.

v. 7. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Ἡ γὰρ ἐν οὐρανῷ πολιτεία πάσας ἀθυμίας κεχώρισται. — Ἢ οὕτως· ὅταν σοι, φησὶ, πάντων τῶν ἐν τῇ ἐκκλησίᾳ ἡ κατοικία γένηται, τότε καὶ εὐφροσύνης ἔσονται πλήρεις.

v. 7. *Sicut lætantium omnium habitatio est in te.*

Quæ enim in cœlis est civitas, cujuscumque luctus expers est. — Vel sic: Quando, inquit, omnium qui in Ecclesia sunt, fiet communis domus, tum gaudio cumulabuntur.

v. 6. Vat. 4. Matth. x, 30. Luc. x, 20. Ultima scholii verba certatim corradunt Theodoretus, Theodorus Heracl. Anonymus, ita tamen ut *reges* non de solis magistris et sacerdotibus intelligant, id quod placuit Origeni, quum nondum reges in ecclesia receptos vidisset. Cf. Field. II, 239.

v. 7, Vat. 4.

Psalmus LXXXVII.

v. 3. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου. *Vat.* 680, 1.

Ὡσπερεὶ ζώσης τῆς ἑαυτοῦ προσευχῆς ἀξιοῖ, ὅπως ἔλθοι ἐνώπιον τοῦ Κυρίου.

v. 4, 5, 6. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾄδῃ ἤγγισε, προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον· ἐγεννήθην ὡς ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

Τὸ δέ· ἐπλήσθη κακῶν ἡ ψυχή μου, ὁ Χριστὸς λέγει, τὰς ἁμαρτίας ἡμῶν φέρων ἐν τῇ ψυχῇ αὐτοῦ, καὶ πλήρης ὢν [κακῶν]· ὁ περὶ ἡμῶν ὀδυνάμενος, προσελογίσθη μετὰ τῶν καταβαινόντων εἰς λάκκον. — Εἰ αὐτὸς τὰς ἁμαρτίας ἡμῶν ἐβάστασε, καὶ περὶ ἡμῶν ὀδυνᾶται, εἰκότως κακῶν ἐνεπλήσθη, φησίν. Ἐὰν μεταλάβῃς τὸν ᾄδην εἰς τὸν θανόντα, γνῶθι πῶς ὁ θάνατος διαφέρει ζωῆς ἀνθρώπου· τὸ πλῆθος ἠντομόλησε τῶν περιστοιχιζόντων με θεωρῆσαι κακῶν· παρ' αὐτὸν γὰρ εἰμι τὸν θανόντα, καὶ τῆς σῆς δέομαι βοηθείας. — Ὡς ἀβοήθητος μὲν, οὐ μὴν ἀληθῶς ἀβοήθητος, ὡς ἀπὸ τοῦ Πατρὸς, εἰ καὶ εἶπεν· Ὁ Θεὸς, ὁ Θεός μου, ἵνα τί ἐγκατέλιπές με; Μόνος γὰρ ὁ Ἰησοῦς, εἰ καὶ ἀπέθανεν ὑπὸ τῶν ἁμαρτιῶν τοῦ λαοῦ, ἀλλ' ἐν νεκροῖς μόνος ἦν ἐλεύθερος, ὡς τό· Ἔρχεται ὁ ἄρχων, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. Διὸ οὐκ ἔχων τοὺς τῆς ἁμαρτίας δεσμοὺς, ὡσεὶ ἐλεύθερος, ἀνέστη ἐκ νεκρῶν, ἐξουσίαν ἔχων μόνος πάλιν λαβεῖν αὐτὴν [τὴν ζωήν]. Ὁ βουλόμενος τοῦτο ἐπὶ τοῦ Σωτῆρος λαβεῖν, νοησάτω οὕτως· εἰ πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας, ὁ δὲ αὐτὸς οὗτος καὶ νεκρός ἐστι· ψυχὴ γὰρ ἡ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖται. Καὶ καλῶς λέγεται ὁ Σωτὴρ ἐν νεκροῖς εἶναι ἐλεύθερος, ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

v. 3. *Intret in conspectu tuo oratio mea.* Commendat orationem, ac si vivens esset, ut intret in conspectu Domini.

v. 4, 6. *Quia repleta est malis anima mea, et inferno vita mea appropinquavit, æstimatus sum cum descendentibus in lacum; factus sum sicut homo sine adjutorio, inter mortuos liber.*

Illud: *repleta est malis anima mea,* Christus pronuntiat, ferens nostra peccata in anima sua, et cumulatus malis: dira propter nos passus, reputatus est *cum descendentibus in lacum.* Si ipse peccata nostra pertulit, si proptor nos acerbe doluit, haud immerito ait: *repleta est malis anima mea.* Si inferni nomine mortem acceperis, scito quomodo mors a vita hominis differat. Multitudo calamitatum quæ mihi circumfusæ sunt, impedivit quin mala considerem. Juxta mortuum ipsum jaceo, et indigeo auxilio. — Quasi adjutorio destitutus, sed non vere sine auxilio, utique a Patre, quantumvis dixerit: « Deus, Deus meus, ut quid dereliquisti me? » Solus enim Jesus, etsi mortuus ex peccatis populi, tamen in mortuis erat liber, juxta illud: « Venit princeps, et in me non inveniet quidquam ». Unde non habens vincula peccatorum, tamquam liber, surrexit a mortuis, solus potestatem habens iterum sumendi vitam. Qui vult hunc locum de Salvatore accipere, sic intelligat: Si quivis peccatum faciens, peccati servus est, idem ille etiam mortuus est. Anima enim quæ peccat, ipsa quoque moritur. Et optime dicitur Salvator liber in mortuis, « peccatum enim non fecit, neque inventus est in ore ejus dolus. »

Ps. LXXXVII, v. 3. Vat. 4.
v. 4, 6. Vat. 4, 5, 14, 16. Ps. XXI, 2, Joan. XIV, 30. I Petr. II, 22. Quædam in fine ad vulgatum Athanasium transierunt.

v. 8. Καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπ' ἐμὲ ἐπήγαγες.

Μετεωρισμοὺς τὴν μετὰ σφοδρότητος ἐπενεχθεῖσαν τῷ τῶν ἀνθρώπων γένει ὑπὲρ τῆς παραβάσεως δίκην φησί· σημαίνει δὲ πάλιν τὸν θάνατον.

v. 9. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Οἱ Ἰουδαῖοι ἔθεντο αὐτὸν βδέλυγμα ἑαυτοῖς· ἐπὰν δὲ μακρύνῃ τις ἑαυτὸν ἀπὸ Χριστοῦ, τότε καὶ ἀπὸ Θεοῦ μακρύνεται κατ' ἀναλογίαν οὗ ἑαυτὸν μακρύνει· ὁρῶν δέ τις Ἰούδαν ἢ ἀλλοτριουμένους Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, τεθειμένους αὐτὸν βδέλυγμα ἑαυτοῖς, ὄψεται πῶς ταῦτά ἐστιν ἀληθῆ.

v. 10. Οἱ ὀφθαλμοί μου ἠσθήνησαν ἀπὸ πτωχείας.

Καὶ πρὸς τούτοις, φησὶν, ὑπὸ τῶν πολλῶν δακρύων ἐξεῤῥύη μου τὸ διοριστικόν. Ὁ γὰρ Σύμμαχος οὕτως· Ὁ ὀφθαλμός μου ἐξέῤῥευσεν ἀπὸ τῆς κακώσεως. Δακρύων, φησὶ, τοὺς ὀφθαλμούς μου κατεδαπήνησα, κλαίειν ὑπὸ τῆς ὀδύνης ἀναγκαζόμενος. — Διὰ τὴν πτωχείαν, ἣν ἐπτώχευσεν πλούσιος ὢν, ὡς ἐσταυρώθη, οὕτως καὶ τῷ ὀφθαλμῷ ἠσθένησεν· οὐ γὰρ ἑώρα, ὡς ὅτε ἐν μορφῇ Θεοῦ ὑπῆρχεν, ἀλλ' ὡς μορφὴν δούλου λαβὼν, ἔβλεπε· καὶ ἄλλως δὲ πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν· καὶ οὐχ ἰσχυροὶ ὁρᾶν· διὸ ἐπεὶ ἐν Κορίνθῳ πολλοὶ ἀσθενεῖς, οὐδὲ βρῶμα λαβεῖν δύνανται, οὐδὲ βλέπειν τὸ τῆς γνώσεως αὐτοῦ φῶς.

v. 12, 13. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι; μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σοῦ, καὶ ἡ δικαιοσύνη σοῦ ἐν γῇ ἐπιλελησμένῃ;

Ἔτι μοι ζῶντι, φησί, τὴν σὴν δεῖξον θαυματουργίαν· ἀποθανὼν γὰρ ταύτην οὐχ ὄψο-

v. 8. *Et omnes elationes tuas induxisti super me.*

Elevationes nuncupat ultionem cum vehementia ruentem in hominum genus ex Adami lapsu: rursus autem significat mortem.

v. 9 *Longe fecisti notos meos a me, posuerunt me abominationem sibi.*

Judaei posuerunt eum sibi rem execrandam. Quando vero quis se longe facit a Christo, tum simul procul a Deo tantum repellitur, quantum se elongat. Videns autem aliquis Judam aut eos qui alieni sunt a Jesu Christo Deo, eum sibi reputantes rem abominandam, conspiciet quomodo haec vere fieri possint.

v. 10. *Oculi mei infirmati sunt præ inopia.*

Et propterea, inquit, ex multis fletibus deffluit visus meus. Symmachus enim ita: *Oculus meus effluxit propter vexationem.* Flendo, inquit, oculos meos impendi, lacrymari præ dolore coactus. — *Præ inopia,* quia pauper factus est, dives quum esset, quando cruci affixus est, ita imbecillis oculo factus est. Haud enim consideravit quatenus se in forma Dei esset, sed uti formam servi accipiens, conspexit. Et cæterum pauper minas non sustinet, neque intuendi vim habet. Idcirco Corinthi multi infirmi erant, neque cibum sumere, neque videre poterant lumen ejus scientiæ.

v. 12, 13. *Numquid mortuis facies mirabilia? Aut medici suscitabunt et confitebuntur tibi? Numquid narrabit aliquis in sepulcro misericordiam tuam, et veritatem tuam in perditione? Numquid cognoscentur in tenebris mirabilia tua, et justitia tua in terra oblivionis?*

Viventi adhuc mihi, inquit, ostende tuam miram omnipotentiam. Mortuus e-

v. 8. Vat. 5.
v. 9, 10. Vat. 4. I Cor. XI, 30. Field. II, 240.

v. 12, 13. Vat. 4, 14. Graviter memorari legem arcani nemo non notaverit.

μαι, οὐκ ἔστιν ἰατρὸς ἀπαλλάξαι θάνατον δυνάμενος· ἢ τὰς αἰτίας ἡμᾶς διδάσκει Χριστὸς τῆς εἰς τὸν θάνατον αὐτοῦ καθόδου, μονονουχὶ λέγει ὅτι οὔτε ἐν νεκροῖς δυνατὸν, φησὶ, ποιήσασθαι θαυμάσια, οὔτε ἰατροὺς ἀναστῆσαι, ἵνα ἐξομολογήσωνταί σοι, οὔτε μὴν οἱ ἐν τῇ ἀπωλείᾳ δυνατοὶ ἦσαν γνῶναί σου τὴν ἀλήθειαν· τούτου χάριν, Πάτερ, καὶ τοῖς ἐν ᾅδου καταλελόγισμαι, ἵνα ἀναστάντες οἱ ἐν τῇ ἐπιλελησμένῃ γῇ, καὶ τῶν θαυμασίων σου πεῖραν λάβοιεν, καὶ διηγήσωνται οἱ πάλαι ἐν τῷ σκότει τὴν ἀλήθειάν σου. Ἀπώλειαν δέ φησι τὸ τῶν νεκρῶν χωρίον, διὰ τὸ ἀνέλπιστον τῆς ζωῆς. — Ἤ τις τάφος κεκωνιαμένος καὶ μνημεῖον ἄδηλον ἔχει λάρυγγα τάφου ἀνεῳγμένου, ἐν τούτῳ οὐκ ἔσται, οὐκ ἔσται διήγησις ἐλέου Θεοῦ· ὅταν ἐν τοῖς μυστηρίοις συναγώμεθα, ἀπολλυμένοις οὐ παραδοτέον τὴν ἀλήθειαν. — Γῆ ἐπιλελησμένη ἐστὶν ἡ ψυχὴ λογικὴ, τῶν τοῦ ἁγίου Πνεύματος ἐστερημένη καρπῶν. — Ὥσπερ ἐν τοῖς ἀπολολόσιν οὐκ ἔστιν ἀλήθεια, οὕτως ἐν τοῖς ἐσκοτισμένοις οὐκ ἔστι θαυμασία. Οὐ δυνατὸν, φησὶ, τοὺς εἰς χόνιν διαλυθέντας νεκροὺς, καὶ ἐν τῷ ζόφῳ τοῦ θανάτου διάγοντας, καὶ λήθῃ παραδεδομένους, τῆς σῆς αἴσθεσθαι φιλανθρωπίας, καὶ τῶν σῶν θεαμάτων θεατὰς καταστῆναι.

nim jam non videbo eam. Medicus non est qui mortem avertat Vel Christus nos edocet causas sui in mortem descensus. Tantummodo non dicit: Neque in mortuis fas est miracula facere, neque suscitare medicos, ut tibi confiteantur, neque licet iis qui perditione pessumdantur, noscere tuam veritatem. Ea propter, o Pater, etiam in inferno cum mortuis reputatus sum, ut ubi surrexerint hi qui sunt *in terra oblivionis,* experiantur tua mirabilia, atque iterum veritatem tuam enarrent qui habitant *in tenebris*. Perditionem vocat locum mortuorum ob nullam in eo spem vitæ habendam. — Vel quale sepulcrum est dealbatum aut obscurum monumentum, quod os habeat tumuli hiantis. In simili loco non erit sane, non erit enarratio misericordiæ divinæ. Quando propter mysteria congregamur, perditis non est tradenda veritas. — *Terra oblivioni data* rationalis est anima fructibus sancti Spiritus orbata. Sicut in reprobis non est veritas, ita neque his qui in tenebris sunt, mirabilia occurrunt; fieri non potest, ait, ut qui dilapsi in cinerem, sunt mortui et in umbra mortis jacent, et oblivioni toti traduntur, tuam sentiant clementiam, tuorumque mirabilium sistant se spectatores.

v. 14. Κἀγὼ, Κύριε, πρὸς σὲ ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἀπαλλαγῆναι τῶν ἐπικειμένων ποτνιῶμαι, καὶ φθάνω τῇ δεήσει τὸν ὄρθρον. Ὁ δὲ Σύμμαχος οὕτως· Ἐμοῦ δὲ πρὸς σὲ, Κύριε, ἡ οἰμωγὴ, καὶ κατ' ὄρθρον προσευχή μου προφθάσει σε. — Διὰ ταῦτα, φησὶ, λείψανον ἔτι κἀγὼ τῶν ζώντων ὑπάρχων, ταχέως τυχεῖν σου τῆς φιλανθρωπίας παρακαλῶ· τὸ γὰρ πρωῒ ἐπὶ τοῦ τάχους λαμβάνει, ἢ ὅτι φθάνω τῇ δεήσει τὰ ἐλπιζόμενα.

v. 14. *Et ego ad te, Domine, clamavi, et mane oratio mea præveniet te.*

Averruncari imminentia mala oro supplex, et a diluculo precibus occurro. Symmachus autem in hunc modum: *At meus ad te gemitus, Domine, et mane preces meæ prævenient te.* Propterea, inquit, dum adhuc sum inter viventes residuus, ocius postulo ut tua erga homines clementia fruar. Mane quippe pro cito accipit, sive ad bona sperata precibus propero.

v. 14. Vat. 4. Field. II, 241.

v. 15. Ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν προσευχήν μου.

Ἕως ποτὲ, δέσποτα, ἐπιτείνεις μοι τὰ κακὰ, καὶ τῆς εὐμενείας οὐ μεταδίδως; τὸ γὰρ μὴ τὰς ἱκεσίας τὰς ψυχικὰς προσίεσθαι τὸν Θεὸν, ἄπωσιν αὐτὴν καὶ ἀπόῤῥιψιν ὀνομάζει.

v. 16. Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου.

Δι' ἡμᾶς γὰρ ἐπτώχευσεν, ἵνα ἡμεῖς τῆς ἐκείνου πτωχείας πλουτήσωμεν.

v. 19. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον, τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Ταλαιπωρίαν τοῦ πάθους τὸν καιρὸν κατασημαίνει· λέγει οὖν ὡς παρὰ τὸ πάθος αὐτὸν καὶ οἱ φίλοι καὶ οἱ γνώριμοι ἐγκατέλιπον. Ἐπειδὴ γὰρ γεγονὼς ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, ἐν δὲ τῷ σταυρῷ καταλέλειπται ὑπὸ τῶν μαθητῶν, τούτου χάριν τὸν Πατέρα αὐτοῦ μακρῦναι τοὺς φίλους καὶ τοὺς γνωρίμους λέγει.

v. 15. *Ut quid, Domine, repellis orationem meam?*

Usquequo in me, Dominator, extendis mala, neque tuam mecum clementiam communicas? Etenim, ad Deum usque non pervenire supplicationes, id suam vocat remotionem, suumque repudium.

v. 16. *Pauper sum ego, et in laboribus a juventute mea.*

Propter nos egenus factus est, ut paupertate ejus ditemur.

v. 19. *Elongasti a me amicum, notos meos a miseria.*

Infortunium indicat tempus patiendi. Ait ergo Christus, quomodo imminente patiendi tempore, etiam amici et proximi eum reliquerint. Etenim quum obediens fuerit Patri usque ad mortem, mortem autem crucis, in cruce autem derelictus fuerit a discipulis, idcirco ait Patrem a se amovisse amicos et notos.

v. 16. Vat. 16, consentiente Laur. Pl. VI, 8 in solemni epiphonemate ad latinos præcones passim traducto. II Cor. VIII, 9.
v. 19. Vat. 15. Phil. II, 8.

Psalmus LXXXVIII.

v. 2, 3. Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου, ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. *Vat.* 680, 2.

Προφητεύει ὁ Σωτὴρ οἰκοδομὴν ἐλέου, ὥσπερ ὑπὸ ἀρχιτέκτονος Θεοῦ, σοφῶς τῶν εὐεργετουμένων ἔλεον οἰκοδομοῦντος· ἔσονται γὰρ τῶν εὐπεισομένων ἐλέου θεμέλιον, καὶ τὰ μετὰ τὸν θεμέλιον, καὶ ἐλέου πύλαι, καὶ οἰ-

v. 2, 3. *Misericordias tuas, Domine, in æternum cantabo, in generationem et generationem annuntiabo veritatem tuam in ore meo. Quoniam dixisti: In æternum misericordia ædificabitur, in cœlis præparabitur veritas tua.*

Vaticinatur Salvator erigendas esse ædes misericordiæ, architecto Deo, qui pro benedictis suis sapienter misericordiam ædificat. Erunt enim sane credentibus misericordiæ fundamenta, et cum

Ps. LXXXVIII, v. 2, 3. Vat 4, ex quo fere omnia recipiuntur fragmenta insignis commentarii, quem vix in multis acceptum non referam senioribus Alexandrinis, quamvis nemo non sæpe agnoscet Origenem, maxime in brevioribus et argutis scholiis de solita gnosi infercitis. Pauca ierunt ad alios interpretes, nec nisi ea quæ satis nos certiores faciunt recognitum fuisse et sincerum esse opus tantæ antiquitatis. Pleraque insuper confirmantur codice Laurentiano Plut. VI, 3, qui etiam nova quædam præstitit. Theodorus Heracl. vulgatus sua orditur excerpta a verbis ἐλέη τοῦ Θεοῦ καλεῖ κτλ. Eusebius, ut nos recolit breviter *Quintam editionem*. Maurinis tantum brevissima scholiola sunt. De Hexapl. cf. Field. II, 240, 241. 1 Cor. XIII, 12.

κοι, καὶ θύραι, καὶ θυρίδες, καὶ κιόνες, καὶ στοαὶ, καὶ ναὸς ἀπ' ἐλέου, καὶ θυσιαστήριον, καὶ καταπέτασμα, καὶ πόλις. Καὶ ἐπὶ γῆς μὲν οὐ πᾶς ἄνθρωπος ῥύστης, καὶ οὐκ ἔστι καθαρὰ ἀλήθεια· ἀλλὰ δι' ἐσόπτρου ἀλήθεια, καὶ ἐν αἰνίγματι· ἐν οὐρανοῖς καὶ ὧν ἐστιν ἡ βασιλεία, ἑτοιμάζεται αὐτὴ, ἵνα οἱ τὸ εἰκῆ πολίτευμα ἔχοντες ἐν οὐρανοῖς, αὐτὴν θεάσωνται, φορέσαντες τὴν εἰκόνα τοῦ ἐπουρανίου· ἐπείπερ ἐπὶ γῆς βλέπομεν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, διὸ καὶ εἴ τις δοκεῖ ἐγνωκέναι, οὔπως ἔγνωκε ὡς δεῖ γνῶναι· διὰ τοῦτο ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθεια τοῦ Θεοῦ.

fundamentis cætera fabrica, et portæ clementiæ, et exedra et fores et fenestræ et columnæ et porticus et sacellum misericordiæ sacrum, et altare et velum et civitas. — Sane super terram nemo hominum redemptor est, nulla veritas intemerata, sed veritas per speculum et in ænigmate; sed in cœlis pro his quorum regium est palatium, ipsa præparatur, ut his qui honestum vivendi genus habent, eam contemplari detur, dummodo ferant imaginem cœlestis exemplaris. Quando quidem in terra per speculum videmus et in ænigmate, ideo vel si quis cognovisse videatur, minime cognoscit, uti nosse oportet. Inde illud: *In cœlis præparabitur veritas* Dei.

Ἐλέη τοῦ Θεοῦ καλεῖ τὴν τῷ Δαυὶδ δοθεῖσαν ἐπαγγελίαν, ὡς ἐκ φιλανθρωπίας παρέσχεται· ᾄσομαι οὖν, ἀντὶ τοῦ μιμνήσομαι ταύτης διηνεκῶς, τοῦτο γὰρ εἰς γενεὰν καὶ γενεάν· οὐχ ἕνα ἔλεον, τὸν αἰῶνα ἐσόμενον, ἀλλὰ πολλοὺς τοὺς καὶ μετὰ τὸν αἰῶνα δοθησομένους· ᾄσεται ὁ σωτὴρ εἰς τὸν αἰῶνα, εἰς τὰς δύο γενεὰς, τοὺς ἐξ ἐθνῶν καὶ τοὺς ἐκ περιτομῆς, ἀπαγγέλλει ὁ σωτὴρ τὴν ἀλήθειαν τοῦ Θεοῦ, ἐν σώματι γενόμενος, διὰ τοῦ στόματος αὐτοῦ. Εἰπὼν δὲ ὅτι μνησθήσομαι τῆς ἐπαγγελίας, ἐπάγει καὶ αὐτοῦ τὰ ῥήματα· δυσώπει γὰρ τὸν δεσπότην ἃ εἶπεν ὁ Θεός. Εἰς οἰκτιρμὸν τὰ αὐτοῦ ῥήματα προσφερόμενα, ἐπιφέρουσι γοῦν·

Misericordias Dei vocat largitam Davidi promissionem, ut quæ benignitatis munus est. *Cantabo* ergo, pro recordabor eam, in perpetuum, id est *in generationem et generationem*. Non unam dicit misericordiam, quæ in ævo futura sit, sed plurimas quæ post sæculum dabuntur. Cantabit Salvator in sæculum per duas etiam generationes, unam ex gentibus, alteram ex circumcisione. Salvator annuntiabit veritatem Dei, in corpore consistens per os suum. Dum vero dicit: Recordabor promissionis, subjicit ipsius Dei verba: flectunt enim Dominum ad misericordiam verba quæ Deus protulit. Verba igitur quæ pietatem eliciunt, subjiciuntur:

Ὅτι εἶπας· εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται. — Ὑπέσχου, λέγει, τὴν τοιαύτην φιλανθρωπίαν οἰκοδομεῖν εἰς τὸν αἰῶνα. Καὶ καλῶς οἰκοδομίαν εἶπε τὴν κατὰ μικρὸν τῆς ἐπαγγελίας αὔξησιν. Ἤρξατο γὰρ ἐξ ἑνὸς τοῦ Ἀβραὰμ, καὶ διέβη εἰς τὸν Ἰσραηλιτικὸν λαὸν, ἐκ τούτου εἰς πᾶσαν τὴν οἰκουμένην. Ἦν γὰρ τοῦ Θεοῦ ἐπαγγελία πρὸς τὸν Δαυὶδ, φυλάξαι τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα, ὅς ἐστι Χριστός.

Quoniam dixisti: In æternum misericordia ædificabitur. In æternum pollicitus es, inquit, hujusmodi clementiæ ædificium in aevo esse mansurum. Et optime ædificium dixit esse hanc pollicitationem paulatim auctam. Incœperat enim ab uno Abraham, tum transmeavit ad plebem Israeliticam, ab illa ad universum orbem. Hæc enim erat Dei ad David promissio, servandum esse semen illius, quod est Christus.

Ἡ δὲ ε' ἔκδοσις εἶπα ἔχει, ὡς ἐκ προσώπου τοῦ προφήτου λεγομένου τοῦ Χριστοῦ.

Ἢ τὸ οἰκοδομηθήσεται, ἀντὶ τοῦ ἐγερθήσεται· ἀνίσταται γάρ πως τὸ οἰκοδομούμενον· τοῦτο δέ ἐστιν ἡ διὰ Χριστοῦ χάρις. Ἐπεὶ δὲ ἕτοιμον ἀεὶ τὸ ἑδραῖον σημαίνει καὶ τὸ βέβαιον, βούλεται εἰπεῖν ὅτι ἡ τοιαύτη σου ἐπαγγελία ἥδρασται, καὶ τὸ βέβαιον ἔχει ἐν τοῖς οὐρανοῖς, ὥστε αὐτὴν μηδὲν ἐπίγειον παραγίνεσθαι πρᾶγμα. Ὁ δὲ Σύμμαχος· ἑδραιωθήσεται.

v. 4, 5. Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα Δαυὶδ τῷ δούλῳ μου· Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.

Τῷ εἶπας καὶ τοῦτο συνῆπται, ὅτι ταύτας πρὸς τοὺς ἐκλεκτοὺς ἐποιησάμην τὰς συνθήκας· ἐκλεκτοὺς δὲ καλεῖ Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακώβ. Πρὸς δὲ τούτοις ἔφη ὀμωμοκέναι καὶ τῷ Δαυὶδ, ἀνώλεθρον αὐτοῦ φυλάξαι τὸ σπέρμα, καὶ ἐν πάσῃ γενεᾷ τὸν τούτου θρόνον ἀνθήσειν. Ταῦτα δὲ οὐκ εἰς αὐτὸν τὸν Δαυὶδ νοεῖται. Πῶς γάρ; ἀλλ' εἰς Χριστὸν τὸν ἐξ αὐτοῦ καταγόμενον, καὶ διηνεκὲς ζῶντα καὶ βασιλεύοντα. Καὶ ποῦ ὤμοσεν ἢ ἐν τῷ εἰπεῖν πρὸς αὐτόν· Καὶ ἔσται, ὅταν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθῇς μετὰ τῶν πατέρων σου, ἀναστήσεται ἐκ τοῦ σπέρματός σου ἄλλος, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω εἰς τὸν αἰῶνα τὴν βασιλείαν αὐτοῦ. Αὐτὸς οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὴν βασιλείαν αὐτοῦ εἰς τὸν αἰῶνα. Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.

Οὐ τοῖς κλητοῖς, ἀλλὰ τοῖς ἐκλεκτοῖς ὁ θρόνος τοῦ Δαυὶδ, τουτέστι τοῦ Χριστοῦ ἡ βασιλεία οἰκοδομεῖται εἰς γενεὰν, τοῖς ἐκ περιτομῆς, καὶ γενεὰν, τοῖς ἐξ ἐθνῶν. Ὡς οἰκία οἰκοδομεῖται, οὕτως ὁ θρόνος τοῦ Δαυὶδ,

Quinta autem editio habet: *Dixi*, tamquam in persona prophetæ Christo loquente.

Vel etiam illud *ædificabitur* est pro *excitabitur*. Aliquomodo enim surgit quod ædificatur, et hujusmodi est data per Christum gratia. Quum autem præparatio semper significat stabilitatem et firmitatem, id dicere vult quod hujusmodi promissio stabilis sit et firmitatem in cælis habeat, ita ut nullatenus aliquid caducum esse queat. Symmachus autem scripsit: *Stabilietur*.

v. 4, 5. *Disposui testamentum electis meis, juravi David servo meo: Usque in æternum præparabo sedem tuam, et ædificabo in generationem et generationem thronum tuum.*

Id quoque præcedenti verbo *dixisti* quadrat, quod similia electis fecerim fœdera. Electos jam vocat Abraham, Isaac et Jacob, quibus ait se simul et Davidi juravisse, fore ut incolume servet semen ejus, et in omni generatione floreat ipsius thronus. Quæ quidem non de Davide intelliguntur. Etenim quomodo? utique per Christum ex illo oriundum, viventem et regnantem in perpetuum. Ubi nam vero juravit? nisi quando dixit ad eum: « Et erit quando implebuntur dies tui, et dormies cum patribus tuis, exsurget ex stirpe tua alius qui erit de ventre tuo, et præparabo in sæculum regnum ejus. Ipse ædificabit domum nomini meo, et eriget regnum suum in sæculum. Ego ero illi in patrem, et ille erit mihi in filium. »

Non jam vocatis, sed eligendis ædificatur thronus Davidis, id est Christi potestas, *in generationem* unam pro circumcisis, et alteram *generationem* pro gentibus. Sicut habitatio fabricatur, sic thro-

v. 4, 5. Vat. 4. Cf. II, Reg. VII, 12. Gen. II, 22. In fine Vat. 5, 12, 14, 16. Pauca regerit Hesych. apud Corder II, 821, et Eusebius pauciora, quæ non recipit Montefalconius.

ἢ ὡς ᾠκοδόμητο ὁ Θεὸς τὴν πλευρὰν ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα, οὕτως φησὶ καὶ τό· Οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν θρόνον σου. Εἰ θρόνος ἐστὶ τοῦ Χριστοῦ φύσις λογική (ταύτην δὲ πεποίηκεν ὁ Θεός), καλῶς λέγεται Χριστὸς κεκαθικέναι ἐπὶ θρόνου Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. Τὸ δὲ γινώσκεσθαι τὸν Χριστὸν ὑπὸ τοῦ πεφυκότος γινώσκειν αὐτόν, καθέδραν ὀνομάζει ἡ θεία γραφή.

v. 6. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

Σὲ γὰρ προσήκει παρὰ πάντων ὑμνεῖσθαι, οὐχ ἥκιστα δὲ παρὰ τῶν τὸν οὐρανὸν οἰκούντων, ἀκριβέστερον ἐπισταμένων τὰ σὰ θαυμάσια. Ἢ οὕτως τοῦτό φησι διὰ τοὺς λέγοντας· Ἐτέχθη ὑμῖν Χριστὸς Κύριος ἐν πόλει Δαυὶδ, καὶ ὅτι γεννηθέντος τοῦ Χριστοῦ, ποιμέσι τοὺς ἀγγέλους εὐαγγέλισθαι, καὶ ἑτέρους δὲ ἐπουρανίους στρατιὰς ὀφθῆναι λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. Καὶ γάρ γέγονεν ἄνθρωπος, φησίν, ὁ μονογενής, καὶ καθῆκεν ἑαυτὸν εἰς ἑκούσιον κένωσιν, καὶ ἔλαβε τὴν τοῦ δούλου μορφήν· ἀλλὰ καὶ οὕτός ἐστιν ἀσύγκριτος. Ἐν τῷ ιη' ψαλμῷ, οἱ οὐρανοὶ διηγοῦνται· νῦν δε' φησιν· Ἐξομολογήσονται οἱ οὐρανοί. Τῶν γὰρ αὐτῶν ἐστι τὸ ἐξομολογεῖσθαι καὶ διηγεῖσθαι τὰ θαυμάσια Κυρίου. Ἐξομολογοῦνται δὲ καὶ εὐχαριστοῦσιν ἐν τῇ ἐκκλησίᾳ τῶν ἁγίων οἱ οὐρανοί. — Ἢ οὕτως ἀντὶ τοῦ ὑπὲρ ταύτης τῆς ἐπαγγελίας καὶ τῆς φιλανθρωπίας εὐχαριστοῦσι καὶ οἱ οὐρανοί, διὰ γὰρ τῶν οὐρανῶν τὰς οὐρανίους αἰνίττεται δυνάμεις.

v. 7, 8. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ; ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περὶ κύκλῳ αὐτοῦ.

nus Davidis, vel ceu Deus ædificavit in mulierem costam, quam sumpsit ex Adamo, ita inquit: ***Ædificabo in generationem et generationem thronum tuum.*** Si thronus est spiritualis natura Christi, eamque Deus fecerit, bene Christus dicitur sedisse in throno David patris sui. Quod vero Christus ab humana natura cognoscitur, id divina Scriptura vocat cathedram.

v. 6. ***Confitebuntur cœli mirabilia tua, Domine, et veritatem tuam in ecclesia sanctorum.***

Te namque decet ab omnium hymnis celebrari, quanto magis ab illis qui cœlum inhabitant, qui accuratius tua novere prodigia. Vel sic loquitur propter eos qui dicunt: Natus est nobis Christus in civitate David, et quod nato Christo, pastoribus angeli faustum dedere nuntium, et cæteri cœlestes exercitus visi sunt dicentes: « Gloria in excelsis Deo, et in terra pax. » Etenim inquit, factus est homo Unigenitus, et sponte se usque demisit, ut exinaniret se, et formam servi acciperet. Verum et sic factus, incomparabilis est. — In psalmo XVIII: « Cœli enarrant », nunc vero dicit: ***Confitebuntur cœli.*** Ad hos quippe spectat confiteri et enarrare prodigia Domini. Confitentur præterea cœli, et gratias agunt ***in ecclesia sanctorum.*** Vel ita ut dicat: Pro hac ipsa promissione et pro hac benignitate cœli etiam agunt gratias; per cœlos enim alluditur ad cœlestes virtutes.

v. 7, 8. ***Quoniam quis in nubibus æquabitur Domino? Similis erit Domini in filiis Dei? Deus qui glorificatur in concilio sanctorum, magnus et terribilis super omnes qui in circuitu ejus sunt.***

v. 6. Vat. 4, 14, Ps. XVIII, 2. Luc. II, 8, 14. Didymus apud Corder, in hoc vers. et sequenti ad nostra accedit, una cum Theodoro Her. Sed ambo σποράδην tantum. Silet autem omnino Didymus apud Maium in h. l.

v. 7, 8. Vat. 4, 5, 12, 16. Ps. XLV, 9. Joan, 1, 16.

Σαφέστερον τὸ κατὰ τὸν Χριστὸν αἰνίττεται, δι' ὧν συγκρίνει μὲν αὐτὸν τοῖς υἱοῖς τοῦ Θεοῦ, ὑπερτίθησι δὲ πάλιν αὐτῶν καθ' ὅσον αἱ νεφέλαι τῆς γῆς ὑψηλοτέραι · οὐχ ὅτι κατὰ τοσοῦτον διαφέρει αὐτοῖς, ἀλλ' ὅτι οὐκ εἶχεν ἄλλο μεῖζον ὑπόδειγμα εἰπεῖν. Νεφέλαι γὰρ τοὺς οὐρανίους λέγει τόπους, ἀπὸ μέρους τὸ πᾶν ὀνομάζων. Καὶ τοῦτο δὲ ἐπισημαντέον, ὡσεί που αἰνίττεται τὰ κατὰ Χριστὸν, καὶ ἐκκλησίας μνημονεύει, ὡς ἐν τοῖς ἀπὸ βάρεων ἐλεφαντίνων, ἀντὶ τοῦ οἴκων λαμπρῶν ἄγαν καὶ ἐνδόξων. Εἰ γὰρ μὴ παρὰ τοῦ Υἱοῦ ἦν, εἶπεν ἂν ὡς καὶ ἀλλαχοῦ· Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν θεοῖς; Καὶ γὰρ σαρκωθεὶς καὶ δούλου μορφὴν ὑποδὺς, ἀσύγκριτος ἦν. — Ἢ οὕτως, ὅτι καὶ τῶν ἐπουρανίων καὶ ἐπιγείων ὑπέρκειται, καὶ παρὰ τῶν ἀσυγκρίτων ὑπέρτερος εἶ, καὶ οὐδείς σοι τῶν ὄντων παραβληθῆναι δυνήσεται. — Ἀλλὰ καὶ οὗτός ἐστιν ἀσύγκριτος ὑπὲρ πάσας τὰς οὐρανίους. Αἱ μὲν γὰρ οἰκετικὸν ἔχουσι τάγμα, ὁ δὲ δεσπότης τῶν ὅλων ἐστὶ Κύριος. Ἀλλ' οὐδὲ ἐν υἱοῖς Θεοῦ ἐστί τις ὅμοιος αὐτῷ, ὅτι φασίν· Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντα ἐλάβομεν. Οὐκοῦν ὡς Θεὸς ἐξ ἰδίου πληρώματος, οἱ δὲ πλουτοῦσι παρ' αὐτῷ; — Ἔστι καὶ ὁ Χριστὸς ἐν ταῖς νεφέλαις, τοῖς προφήταις καὶ ἀγγέλοις, ἀλλ' οὐκ ἰσοῦνται οὗτοι τῷ Κυρίῳ, κἂν αὔξησιν σπούδοντες ἐπὶ τὴν ἰσότητα αὐτοῦ· οὐ μόνον οὖν οὐκ ἰσωθήσεταί τις τῶν ἀγγέλων τῷ Κυρίῳ, ἀλλ' οὐδὲ ὁμοιωθήσεται. — Ἢ τὸ τίς ἐπαπορητικῶς εἴρηται, τασσόμενον ἐπὶ τοῦ σπανίου.

Magis perspicuum est Christum significari, ex eo quod illum cum filiis Dei conferat. Immo sublimior tanto illis est, quantum nubes altitudine terram superant; non quod ab illis tantidem differat, sed quod nullum habet majus exemplar conferendum. Nubes enim intelligit cœlestia spatia, toto ex una parte nominato. Et sane hoc notatu dignum: quasi ad ea quæ Christi sunt, alluditur, et Ecclesiæ comminiscitur, sicut in hisce: « A turribus eburneis », videlicet a domibus splendidis valde et magnificis. Nisi enim hæc ad Filium spectarent, dixisset uti et alibi: « Quis similis erit Domino in diis? » Etenim vel caro factus, vel servi forma assumpta, extra paritatem erat. — Vel sic, nempe cœlestia et terrestria superas, ac præ cæteris comparatione præstantioribus sublimior tu es, ac ne ulla quidem existentium rerum te æquiparare poterit. — Verum enim vero incomparabilis ille est præ omnibus supernis potestatibus. Illæ numque domesticum obtinent ordinem; Dominus vero ille est, herusque universorum; sed neque ullus ex filiis Dei similis illi est, aiunt quippe: « Ex ejus plenitudine omnia nos accepimus. » Nonne dat, ut Deus, ex propria plenitudine, cæteri vero ab ipso ditantur? Est quoque Christus in nubibus, in prophetis et angelis, sed qui Domino non æquiparantur, etiamsi omni ope niterentur ad æqualitatem. Igitur non modo nullus angelorum Domino æquiparatur, sed neque similitudinem attingit. — Vel illud *quis* interrogandi more dicitur, respectu ad rem raram.

Εἶτα ἐχόμενος τῆς συγκρίσεως, λέγει· Ἐν βουλῇ τῶν ἁγίων. Βουλὴν τὴν συναγωγὴν λέγει· τὴν συλλογὴν αἰνίττεται οὖν, ὅτι μετὰ πάντων τῶν ἁγίων φαινομένων ὑπεραίρει τῇ δόξῃ, ὡς καὶ φοβερὸς εἶναι τῷ κύκλῳ αὐτοῦ, καὶ φοβερός ἐστι τοῖς τῶν ἐντολῶν αὐτοῦ παρακούουσι. Καλῶς δὲ ἀποστροφῇ

Deinde, habita comparatione, ait: *in concilio sanctorum*. Concilium vocat collectum cœtum. Qua concione significat eum super omnes sanctos gloriosos gloria antecellere, et formidandum esse cunctis in circuitu, et terribilem his qui minus obediunt mandatis suis. Bene

χρῆται, ἵνα τὴν ἀλήθειαν τοῦ λεγομένου μηνύσῃ· ἐπιφέρει γὰρ ὡς πρὸς αὐτὸν διαλεγόμενος·

v. 9. Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.

Ἡ μὲν ἀλήθεια, ὁ Χριστὸς κύκλῳ τοῦ Πατρός· οἱ δὲ ἐν Χριστῷ, περὶ κύκλῳ αὐτοῦ, ἐφ' οὗ μέγας ἐστι τοῖς καθαρᾷ καρδίᾳ βλέπουσιν αὐτὸν, καὶ φοβερὸς κατὰ πληττομένους αὐτὸν, καὶ μὴ χωροῦντας αὐτῷ ἐνορᾶν. — Οὐδεμία λογικὴ φύσις ὁμοία ἐστι τῷ Χριστῷ· ἡ μὲν γὰρ τῶν γεγονότων θεωρίαν γινώσκει· ὁ δὲ καὶ αὐτὸν ἐπίσταται τὸν τὰ πάντα ποιήσαντα· οὗ ὁ Χριστὸς κυκλοῖ τὴν γνῶσιν, τὴν τοῦ Πατρὸς, ἀλλ' αὐτὴ κυκλοῖ τὸν Χριστόν· πολλὴν δὲ ἐν τούτῳ τῷ ῥητῷ καὶ βαθυτάτην θεωρίαν ἀποκεῖσθαι νομίζω, ἣν ὁ ἐξαπλῶσαι βουλόμενος, παρελεύσεται τοὺς τῶν σχολίων κανόνας.

namque apostrophe utitur ad inculcandam sermonis verita-tem. Inserit enim hoc veluti Deum allocutus:

v. 9. *Domine, Deus virtutum, quis similis tibi? potens es, Domine, et veritas tua in circuitu tuo.*

Veritas quidem Christus est in circuitu Patris. In Christo autem qui manent, in illius sunt circuitu: unde magnus est cernentibus illum in corde puro, et formidolosus iis que offendunt eum, qui videre eum non capiunt. — Nulla spiritualis natura Christo similis est; quæ quidem rerum factarum novit theoriam, dum ille cognoscit eum ipsum, qui omnia fecit: cujus Christus scientiam circumclaudit, Patris nempe, quæ et ipsa circumvolvit Christum. At multam in hac sententia et profundissimam contemplationem subjacere arbitror, quam si quis explicari velit, transgredietur scholiorum normas.

v. 11. Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, καὶ ἐν τῷ βραχίονι τῆς δυνάμεως διεσκόρπισας τοὺς ἐχθρούς σου.

Αἰνίττεται οὖν, ὡς δυνατοῦ ὄντος αὐτοῦ τὰ τῶν πολεμίων ὑπερηφανίας καταστέλλειν.

v. 11. *Tu humiliasti sicut vulneratum superbum; in brachio virtutis tuæ dispersisti inimicos tuos.*

Asseritur ergo eum posse hostium arrogantias missas facere.

v. 9. Ex iisdem codd. quorum unus gravi varietate ad Arianismum ruit, cum aperte legat: οὐχ ὁ Χριστὸς κυκλοῖ τὴν γνῶσιν, τὴν τοῦ Πατρὸς, quod etsi fortasse ferri possit, in eo sensu quod ambigua dictio γνῶσις intelligatur de personali notione Patris, nullatenus communicanda, totus locus legendus est cautissime, et ipse Origenes trepidum gressum substitit, ne, ut ait, scholiorum rationem et canones transiliret. Sed quanto imprudentior fuit in IV libro περὶ ἀρχῶν, n. 35. ubi ausus est scribere ea quæ tum græce exstant in epistola Justiniani ad Menam, tum latine, fideli interprete Hieronymo, quem sat erit breviter repetere: " Sin comprehensionem eam dicimus, ut non solum sensu quis et sapientia comprehendat, sed et virtute et potentia cuncta teneat, qui cognovit, *non possumus dicere quod comprehendat Filius* Patrem. BB. t. I, 193. Cf. lib. II, *Origeniana,* quæst 2. — Cæterum locum videtur voluisse emendari Didymus, egregius Adamantini patronus, apud Corder II, 825: Καὶ φῶς δὲ ὢν ὁ Θεὸς ἔχει φῶς ἐν ἑαυτῷ τὸν Υἱόν... Ὅθεν εἴρηται καὶ ἀπαύγασμα φωτὸς ἀϊδίου. Εἶναι δὲ κύκλῳ καὶ τὴν ἀλήθειαν ἔφησεν οὐ γεγονέναι ἢ ἔσεσθαι, παρέστι δὲ τῷ δυνατῷ Θεῷ καὶ ἡ ἀΐδιος δύναμις καὶ ἡ αὐτοσοφία, καὶ ἀλήθεια τῷ Λόγῳ τε καὶ τῷ φωτὶ τοῦ Θεοῦ. " Cum Deus quoque lux sit, habet lucem in semetipso Filium... unde dicitur etiam splendor lucis æternæ. Dixit autem veritatem esse in circuitu, non factam aut futuram esse, sed adest potenti Deo tam virtus perpetua quam sapientia per se subsistens et veritas in Verbo ac lumine Dei. „

v. 11, Vat. 4.

v. 13. Τὸν Βοῤῥᾶν καὶ θάλασσαν σὺ ἔκτισας, Θαβὼρ καὶ Ἑρμωνιεὶμ τῷ ὀνόματί σου ἀγαλλιάσονται.

Ὁ Ἀκύλας· Βοῤῥᾶν καὶ δεξιάν. Ἡ ε´ ἔκδοσις· Βοῤῥᾶν, νότον. Δοκεῖ δὲ διὰ τῶν δύο ἄκρων τὸν ἅπαντα κόσμον τῆς οἰκουμένης δηλοῦν· ἀπὸ γὰρ τοῦ εἰπεῖν τὸν Βοῤῥᾶν καὶ μεσημβρίαν, σημαίνει πάντα τὰ κλίματα· καὶ διὰ μὲν τοῦ Βοῤῥᾶ τὰ ἀρίστερα μέρη· διὰ δὲ τὴν θάλασσαν τὰ τῆς ἑσπέρας (θάλασσαν γὰρ ἡ γραφὴ τὴν ἑσπέραν καλεῖ) διὰ δὲ τοῦ Ἑρμωνιεὶμ, τὸν νότον· καὶ διὰ τοῦ Θαβὼρ, τὴν ἀνατολήν· Θαβὼρ καὶ Ἑρμὼν ὄρη εἰσὶν ἐν Παλαιστίνῃ. Ὁ δεσπόζων, ἔφη, πάντων τῶν κλιμάτων, εὔφρανον τὰ ὄρη ταῦτα τῇ ἐπικλήσει σου, ἐπαγαγὼν ἡμᾶς ἐν αὐτοῖς οἰκοῦντας. — Διὰ τούτων πᾶσαν τὴν γῆν τῆς ἐπαγγελίας ἐδήλωσεν· ταῦτα γὰρ ἐκείνης εἰσιν ὄρη τῆς γῆς. Οὐ μὴν τὰ ὄρη τοῦτο δράσειν εἴρηκεν, ἀλλὰ τοὺς παρὰ τὰ ὄρη κατοικοῦντας ἀνθρώπους, τοὺς ἐναντιουμένους Ἰουδαίους καὶ τὸν κόσμον σὺ πάλιν ἐνεκαίνισας. — Αὐτὸς γάρ ἐστιν ὁ ἐπιτιμῶν τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ, καὶ ποιῶν γαλήνην μεγάλην, ἵνα φθάσαντες οἱ ἐμπλέοντες ἀπελθεῖν δύνωνται εἰς τὴν γῆν, ἐφ' ἣν σπεύδουσιν.

Τὸν Βοῤῥᾶν ἵστησιν ὁ νότος, τουτέστιν ἐν τῷ πνεύματι ζέων τὸ ἐν κακίᾳ ψυχρόν· ἑαυτῷ δὲ ποιεῖ νοῦς Βοῤῥᾶν καὶ αὐτὴν ψυχὴν ποιεῖ θάλασσαν· οὐχὶ οὖν Βοῤῥᾶς, οὐδὲ [θάλασσα] καθὸ θάλασσα ἐκτίσθησαν ἀπὸ Θεοῦ, ἀλλὰ κατὰ φύσεως εἰσὶ λογικά; — Διὰ δὲ τοῦ Θεοδοτίονος, πάλιν τὴν ἀνατολὴν [ἐν

v. 13. *Aquilonem et mare tu creasti, Thabor et Hermon in nomine tuo exultabunt.*

Aquila habet: *Aquilonem et dexteram tu creasti.* Quinta autem editio: *Aquilonem, notum.* Videtur autem per duas extremitates universus orbis declararari. Dicendo enim *Aquilonem et meridiem,* significat omnia climata; et per *Aquilonem,* partem mundi sinistram; per *mare,* plagas occiduas (mare enim Scriptura vocat vesperas); per montem *Hermonem* meridiem, et per *Thabor* Orientem: Thabor et Hermon montes sunt in Palæstina. Tu, inquit, omnium climatum dominator, exhilara hos montes invocatione tua, qui nos eduxisti ad habitandum in eis. — Per hæc ostendit omnem terram promissionis. Hi enim sunt illius montes, neque solum dixit montes sic se habere, sed tu, ait, iterum homines eos incolentes, adversarios Judæos et orbem innovasti. — Ipse enim est qui imperat vento et mari, et facit magnam tranquillitatem, ut navigantes appellere cito queant terræ ad quam festinant.

Aquilonem sistit meridianus ventus, id est, qui spiritu calet, obsistit frigescenti in malitia. Mens autem sibi creat Aquilonem, ac sibi met anima facit mare. Nonne ergo Aquilo [et mare], non ut mare creata dicuntur, sed prout sunt præter naturam rationalia? Interprete

v. 13. Vat. 2, 3, 4, 5, 12, 14. Nescio an alicubi legatur, quod Vat. 4. f. 53 Theodoreto audacter ascribit, nec tamen dissimulato vetere apocrypho: Φέρεται δὲ ἐν ἀποῤῥήτοις, ὡς ἄρα οἱ ἐκπεσόντες ἄγγελοι τὴν πρώτην κατάβασιν ἐν τῷ ὄρει τοῦ Θαβὼρ ἔσχον· διὸ ἀγγελλιᾶται τῆς Χριστοῦ προσηγορίας ἀποδιοξάσης ἀπ' αὐτοῦ τὰς ἐκεῖ συνεδρευούσας ἐκπεπτωκότας δυνάμεις κτλ. "Fertur in *arcanis* libris, primum lapsis angelis descensum fuisse in montem Thabor. Ideo psalmus exultat ex Christi præconio, quod ex hoc monte pepulit constitutas ibi delapsas potestates."

Prudenter tacet vulgatus Theodoretus, quibus addo silendum fortasse scholiolum quod Maurini ascribunt Origeni in ps. CXXXII, 3: "In monte Hermon angelos apostatas de defectione sua tenuisse conciliabulum." Etiam vulgatus Athanasius in argumento sequentis psalmi meminit *librorum arcanorum*, ἐν ἀποῤῥήτοις, qui inter Alexandrinos circumferebantur. — Sed et in Hexaplis obscura quædam sunt quæ frustra admovi ad Field II, 242, neque rabbinicas fabulas memorat egregium Neubauer opus *La Géographie du Thalmud* p. 39. Ultima BB partim edd.

τῷ Θαβὼρ νόει]. Ἔστι δὲ ὄρος τῆς φυλῆς Ἰσσάχαρ καὶ φυλῆς Νεφθαλεὶμ, ὅριον Ζαβουλών· κεῖται δὲ ἐν τῷ μεγάλῳ πεδίῳ πρὸς ἀνατολὰς τῆς Λεγεῶνος, ὃ καὶ Ἐθαβύριον καλοῦσιν. Θαβὼρ δέ ἐστι τὸ ὄρος τῆς Γαλιλαίας, ἐφ' οὗ μετεμορφώθη ὁ Χριστός. Ἑρμωνιεὶμ δέ ἐστιν ὄρος ἐφ' οὗ κεῖται ἡ πόλις Ναΐν, ἐν ᾗ ἤγειρε τὸν τῆς χήρας υἱὸν ὁ Θεός.

v. 14. Σὸς ὁ βραχίων μετὰ δυναστείας, κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου.

Σὸς ὁ βραχίων, τουτέστι τὸ δυνατὸν ἅπαντα ἐνεργεῖν· τὸν γὰρ βραχίονα ἐπὶ τῆς ἐνεργείας τῆς δυναστείας, ἐπὶ τῆς δυνάμεως ἔλαβεν. Κραταιωθήτω εἶπεν, οὐχ ἵνα λάβοι κράτος λέγει, εἶχε γὰρ, ἀλλ' ἵνα φανερωθῇ πέρας τοῦ μυστηρίου τοῦ δύναμιν λαμβάνοντος, ὅπως αὐτὸς ὑπέσχετο· Ὅταν ὑψωθῶ, λέγει, πάντα ἑλκύσω πρὸς ἐμαυτόν.

v. 15. Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου, ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου.

Ὃ αἰνίττεται, τοῦτό ἐστι, διὰ μὲν τῆς δικαιοσύνης καὶ τοῦ κρίματος τὸν δικαστικὸν κεκοσμῆσθαι θρόνον· διὰ δὲ τοῦ ἐλέου καὶ τῆς ἀληθείας τοῦ Θεοῦ προοδεύειν, ὡς πρὸ πολλῶν γενεῶν τῆς ὑποσχέσεως γενομένης, ἢ θρόνον πάντως τοῦ μέλλοντος, διόπερ ἑτοιμασίαν ἐμνημόνευσεν· ἐντεῦθεν γὰρ ἀφ' ὧν ἡμεῖς βιοῦμεν, δικαιοσύνην καὶ κρίμα ἑτοιμάζει ἑαυτοῦ ὁ κριτὴς πρὸς τὴν ἑκάστου κρίσιν ὧδέ που μέλλουσαν· ἐπεὶ δικαιοσύνη ἑτοιμασία ἐστι τοῦ θρόνου τοῦ Θεοῦ, τὸ κατ' ἀξίαν ἑκάστου ἀπολήψεται, καὶ ἐπεὶ κρίμα οὐδὲν ἀκρίτως ἔσται, κρίματα δὲ ἄβυσσος πολλὴ, ὅτε τις προφθάσει τοῦ ἐλεεῖν παρανόμῳ, οὐ σύνεστι τῶν ἐλέων ἀλήθεια, διὰ οὐδὲ κυρίως ἔλεος ὁ τοιοῦτος. — Δύναται δὲ ἐντεῦθεν ἡ τῶν ἀρετῶν ἀκολουθία δείκνυσθαι ἀντιστρεφόντως ἀλλήλοις, τοῦτε ἐκλεκτικοῦ καὶ τοῦ ἀληθοῦς, τοῦτε δι-

v. 14. Ex Laurent. Pl. vi, 3 Joan. xvii, 22.

autem Theodotione, iterum [vide in Thabor] Orientem. Mons est in tribu Issachar et Nephtalim, terminus Zabulonis. Exstat autem in amplo campo ad Orientem Romanæ provinciæ, quem vocant Ethabyrium. Thabor autem est mons Galilææ ubi Christus transfiguratus est. Hermon mons est, ubi adjacet civitas Naïm, in qua Deus suscitavit viduæ filium.

v. 14. *Tuum brachium cum potentia; firmetur manus tua, exaltetur dextera tua.*

Tuum brachium: id est potestas quæ omnia operatur: brachium enim pro efficacia potentiæ, pro robore sumpsit. *Firmetur* dixit; non ait ut virtutem accipiat, habet enim: sed ut manifestetur finis mysterii in eo qui virtutem recipit, sicut ipse promisit: « Quando exaltatus fuero, ait, omnia traham ad meipsum. »

v. 15. *Justitia et judicium præparatio sedis tuæ; misericordia et veritas præcedent faciem tuam.*

Quod suggeritur, hoc est: per justitiam et judicium ornatum esse thronum judicis; per misericordiam et veritatem Deum procedere, quasi promissione facta multis generationibus, vel thronum omnino esse in futuro tempore erigendum, idcirco *præparationem* memoravit. Ex his vitæ nostræ facinoribus judex sibi præparat justitiam et judicium, ut sua cuique sententia feratur. Quum throni Dei præparatio sit justitia, jus unicuique secundum merita reservatur; et quum nullum futurum sit judicium sine sententia, judicia autem sint abyssus multa, quando quis misereri peccatoris citius festinat, non concurrit cum misericordia veritas, neque proprie misericordia hujusmodi est. — Potest autem ex hoc versu discerni virtutum consequentia

v. 15. Vat, 4, 12. Ps. xlii, 3.

καίου καὶ εἰρηνικοῦ. Ἡ δὲ συζυγία καὶ ἐν τῷ· Τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς, καὶ ἐν τῷ· Ἐξαπόστειλον τὸ φῶς σου καὶ ἀλήθειάν σου. — Τὸ ἅγιον ἔλεος τὴν τοῦ Θεοῦ γνῶσιν σημαίνει, μᾶλλον δὲ τὴν οὐσιώδη γνῶσιν δηλοῖ.

ex illarum reciproca oppositione, id nempe quod pertinet tum ad judicium et veritatem, tum ad justitiam et pacem. Quod consortium est in hoc verbo: *Misericordia tua et veritas tua semper;* etiam in altero: « Emitte lumen tuum et veritatem tuam. » — Misericordia quæ sancta est, significat scientiam Dei, quin immo scientiam in se subsistentem.

v. 16. **Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.**

Μακαρίζει ὁ λόγος τοὺς ἐν νίκαις ὄντας ἀεί. Ἀλαλαγμὸς γὰρ φωνή ἐστιν ἐπινίκιος. Τοῦτο δέ φησιν· ἐπεὶ αὐτοὶ ἡττηθέντες ἀνδραποδίσθησαν.

v. 16. *Beatus populus qui scit jubilationem.*

Beatos verbum eos declarat, qui semper victorias habent. Jubilatio enim est vox triumphantium. Id vero dicit, quum sæpe debellati, in servitutem redactos fuisse.

v. 18. Ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν εἶ σὺ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.

Καύχημα τῆς δυνάμεως τῶν λεγόντων· Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ. Διὸ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχυΐ αὐτοῦ, φθάνει μὲν γνῶσις ἀλαλαγμοῦ ἐπὶ λαὸν ὅλον, οὐκέτι δὲ καὶ τὰ πολλὰ τῶν μακαριζομένων, ὁποῖόν ἐστι καὶ ἡ τῆς καρδίας καθαρότης. Ἀγαπητὸν γὰρ, εἰ καὶ ὀλίγοι τοιοῦτοι εὑρεθήσονται· πλὴν ἀλλ' ἐκλεκτέον, εἴποτε καὶ ἐπ' ἄλλοις· λάβετε μακαρίζεσθαι, εἴρηται.

Ὅρα δὲ ὅσα τῷ μακαριζομένῳ ἐστὶ λαῷ τοῦ Θεοῦ· ἐν τῷ φωτὶ τοῦ προσώπου τοῦ Θεοῦ πορεύσονται, ὡς νῦν ἐν τῷ φωτὶ ἡλίου, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ὑψωθήσονται. — Κέρας τὸν νοῦν ὀνομάζει· ὑψοῦται δὲ νοῦς διὰ γνώσεως Θεοῦ.

v. 18. *Quoniam gloria virtutis eorum tu es, et in benedictione tua exaltabitur cornu nostrum.*

Roboris gloria eorum est qui dicunt: « Omnia possum in eo qui me confortat, » in Christo Jesu. Ideo superbire nolit fortis in fortitudine sua. Prompta quidem est inter universum populum agnitio jubilationis, sed non item sunt multa quæ beatos faciunt, qualis est cordis mundities. Dilecta enim sors est, si vel pauci similes inveniuntur. Verumtamen præstat, si vel aliis dicatur: sinite beatos fieri.

Sed vide qualia bona contingant beato Dei populo. Ambulabunt in lumine vultus Dei, sicut nunc in luce solis, et in nomine ejus jubilabunt per totam diem a facie Dei, et in justitia illius exaltabuntur. — Cornu vocabulo mentem appellat. Mens autem exaltatur per divinam scientiam.

v. 20. Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας· ἐθέμην βοήθειαν ἐπὶ δυνατόν.

Παρ' ἡμῖν δὲ ὁ λαλῶν ἐν ἀκοῇ, λαλεῖ ἐ-

v. 20. *Tunc locutus es in visione filiis tuis, et dixisti: Posui adjutorium super potentem.*

Equidem apud nos qui loquitur, in

v. 16. Vat. 4.
v. 18. Vat. 4. Laurent. Pl. vi, 3. Phil. iv, 13.

v. 20 Vat. 4, 5. Exod. xx, 18. Ps. cxxvi, 1.

κείνῳ πρὸς ὃν ὁ λόγος· ὁ δὲ Θεὸς ἐν ὁράσει τοῖς υἱοῖς τοῖς ἑαυτοῦ λαλεῖ· διὸ πᾶς ὁ λαὸς ἑώρα τὴν φωνήν· τίθεται οὖν ὁ Θεὸς βοήθειαν ἐπὶ δυνατὸν, μᾶλλον ἢ [ἐπὶ] ἀσθενῆ, ὅτι καὶ, εἴ τις τέλειος [εἴη] ἐπὶ υἱοῖς ἀνθρώπων τῆς ἀπὸ τοῦ Θεοῦ σοφίας, οὗτος, καὶ δυνάμεως ἀπούσης, εἰς οὐδὲν λογισθήσεται. Καὶ πάλιν· Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ πόλιν, εἰς μάταιον ἐπιπονοῦσι οἱ οἰκοδομοῦντες αὐτήν.

v. 23. Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν.

Εἰ ὅταν ἁμαρτάνωμεν, τοὺς ἐχθροὺς ἡμῶν ὠφελοῦμεν, ὁ Χριστὸς δὲ οὐχ ἥμαρτον, διὰ τοῦτο ἄρα τοὺς ἐχθροὺς αὐτοῦ οὐκ ὠφελήσει οὐδὲν, εἰ καὶ εἰρήκασι· Δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν αὐτοὶ κληρονομίαν αὐτοῦ. Ἀλλ' ἦν ἀνανόητος ἡ τοῦ Σατανᾶ καὶ τῶν Ἰουδαίων σκέψις, καὶ εἰς ἄπρακτον ἐκβέβηκεν αὐτοῖς τὸ ἐγχείρημα· ἀνεβιῶν γὰρ ὁ σωτὴρ τριήμερος, πατήσας τὸν θάνατον, καὶ ἐσκύλευσεν τὸν ᾅδη.

v. 25. Καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.

Τὸ ἔλεός μου μετ' αὐτοῦ, ἵνα κατὰ τὸ θέλεμά μου ἐλεῇ.

v. 26. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.

Δώσω δὲ αὐτῷ κατὰ θάλασσαν καὶ κατ' ἤπειρον κράτος· διὰ γὰρ τῶν ποταμῶν τὴν ἤπειρον παρεδήλωσεν. — Ἢ περὶ τοῦ Εὐφράτου λέγει ποταμοῦ. Ταῦτα γὰρ κατὰ καιροὺς φαίνονται οἰκήσαντες τὰ μέρη διαφόρως Ἰσραηλῖται. Ἢ θάλασσαν, ὡς προειρήκαμεν, τὴν ἐν δυσμαῖς χώραν φησι, ποταμὸν καὶ τὴν μέσην τῶν ποταμῶν, ἤτοι τὴν ἀνατολήν· φησὶν οὖν ὅτι εἰς πᾶσαν τὴν οἰκουμένην ἡ δι' αὐτοῦ παρουσία ἐκτεθήσεται. — Τὴν μὲν ἑτέραν παρὰ τὴν δεξιὰν χεῖρα ἐν θαλάσσῃ, τὴν δὲ δεξιὰν ἐν ποταμοῖς· ποτα-

v. 23. Vat. 2. Laurent Pl. VI, 3. Matth. XXIV, 38.

auribus ejus loquitur ad quem sermo fit; sed Deus *in visione loquitur* filiis suis: idcirco omnis populus vidit vocem. Ponit ergo *adjutorium super potentem,* magis quam super debilem, quia si quis in filiis hominum perfectus est in sapientia Dei, idem, recedente ejus virtute, ad nihilum redigetur. Et iterum: « Nisi Dominus ædificaverit domum, in vanum laboraverunt qui ædificant eam. »

v. 22. *Nihil proficiet inimicus in eo, et filius iniquitatis non apponet nocere ei.*

Si inimicis nostris quum peccamus, proficimus, sane Christus, qui non peccavit, ideo nullum inimicis profectum permisit, etsi dixerint: « Venite, occidamus eum, et nobis acquiramus haereditatem ejus. » Verum insanum erat Satanæ et Judæorum consilium, et in irritum cecidit illis molitio. Redivivus enim Christus post tres dies, conculcata morte, etiam spoliavit infernum.

v. 25. *Et misericordia mea cum ipso, et in nomine meo exaltabitur.*

Misericordia mea cum ipso, ut secundum voluntatem meam misereatur.

v. 26. *Et ponam in mari manum ejus, et in fluminibus dexteram ejus.*

Dabo illi robur contra mare et terram aridam, quia fluminibus aridam signavit. — Vel de Euphrate loquitur. Eas enim in decursu temporum Israelitæ varias orbis partes inhabitavisse videntur. Vel, ut prius diximus, mare vocat meridiem, et in flumine ait positam inter flumina regionem, id est Orientem. Declarat ergo per universum orbem fore ut præsentia sua constituatur. — Alteram manum quam dexteram ponit in mare; dexteram vero in fluminibus. Ea flumi-

v, 25. Vat. 4.
v. 26. Vat. 4. Joan. VII, 38.

μοὺς δὲ λέγει περὶ ὧν εἴρηται· Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσονται ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον.

v. 34. Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου.

Ἀδικεῖ τὴν κληρονομίαν ὁ ἁρπάζων τοὺς κληρονόμους, καὶ ἁρπάζει τὴν γνῶσιν ὁ ποιῶν ἀκαθάρτους τοὺς πεφυκότας γινώσκειν αὐτήν. Ταῦτα δὲ πάντα ὁ Κύριος εἰς ἑαυτὸν ἀναδέχεται, ἐκ τῆς πρὸς ἡμᾶς κοινωνίας τὰ ἡμέτερα πάθη ἀναδεχόμενος· αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν ἦρεν, καὶ τὰς νόσους ἐβάστασεν.

v. 36. Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυὶδ ψεύσομαι.

Ὅρκος τοῦ Θεοῦ ἡ παρ' αὐτοῦ ὑπόσχεσις, ἀπαράβατος λέγεται, ὡς καὶ τό· Ὤμωσα ἐν τῇ ὀργῇ μου.

v. 40. Ἐβεβέλησας εἰς γῆν τὸ ἁγίασμα αὐτοῦ.

Ἁγίασμα τοῦ Θεοῦ αἱ λογικαὶ ψυχαί.

v. 43. Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν.

Μόνος ἐν τῇ γνώσει τοῦ Πατρὸς ὑψοῦται Χριστός.

v. 45. Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτόν.

Ἔλυσας τὰ πικρὰ τῆς δουλείας δεσμά, καὶ τὴν ἐλευθηρίαν ἐδωρήσω τοῖς αἰχμαλώτοις, τὰ πεπλημμελημένα παριδεῖν ἐθελήσας. Ὅτι δὲ καὶ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις αἰχμάλωτος ἦν, καὶ παρὰ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐλευθερίαν ἐδείξατο, μάρτυς αὐτὸς ὁ διὰ Ἡσαΐου βοῶν· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, καὶ τὰ ἑξῆς. Ταύτην γὰρ ἐν τῇ συναγωγῇ τὴν προφητείαν ἀναγνοὺς ὁ δεσπότης, ἔφη πρὸς Ἰουδαίους· Σήμερον ἡ γραφὴ αὐτὴ πεπλήρωται ἐν τοῖς ὦσιν ὑμῶν· ἔλυσας τὴν καθ' ἡμῶν ἀγανάκτησιν, καὶ τὰς εὐμενείας ἐδίδαξας. Ἐντεῦθεν ἱκεσίαν ἀναπέμπει ἐκ προσώ-

v. 34. Vat. 4, 5. Is. LIII, 2.
v. 36. Vat. 2, 3. Ps. xcfv, 11.
v. 40. Vat. 4.

na dicit de quibus scribitur: « Flumina de ventre ejus exibunt aquæ salientis in vitam æternam. »

v. 34. *Misericordiam autem meam non dispergam ab eo, neque nocebo in veritate mea.*

Nocet hæreditati qui spoliat hæredes; et rapit scientiam, qui impuros facit eos qui ad cognoscendam eam nati sunt. Hæc vero omnino Dominus sibimet ascribit, qui ex suo nobis cum commercio, nostras recipit infirmitates: ipse enim dolores nostros portavit, morbosque sustulit.

v. 36. *Semel juravi in sancto meo, si David mentiar.*

Juramentum Dei est promissio ejus, quæ transire nescia dicitur, sicut et illud: « Juravi in ira mea. »

v. 40. *Profanasti in terra sanctuarium ejus.*

Sanctuarium Dei, animæ spirituales.

v. 42. *Exaltasti dexteram deprimentium eum.*

Solus in cognitione Patris Christus exaltatur.

v. 45. *Dissolvisti eum ab emundatione.*

Dissolvisti servitutis acerba vincula, et libertate donasti captivos, offensa dum negligere voluisti. Quod vero universa hominum creatura sub captivitate jaceat, nec nisi apud Deum et salvatorem nostrum libertatem esse, ostendit ipse testis qui per Isaiam clamat: « Spiritus Domini super me, eo quod unxit me Dominus, » et reliqua. Eamdem enim prophetiam in synagoga legens Dominus, Judæis dicebat: « Hodie Scriptura illa impletur in auribus vestris, » dissolvens iram adversus nos, et docens mansuetudinem. Propterea psalmus votum supplex

v. 43. Vat. 5, 12, 15. De Christo homine loquitur. Sed scholium brevitate obscurum fit.
v. 45. Vat. 12, Is. LXI, 1. Luc. IV, 18.

που τοῦ λαοῦ τῶν Ἰουδαίων, ἀξιούντων καὶ αὐτοὺς τυχεῖν τῆς χάριτος. Ἐοίκασι καὶ οὗτοι κἀκεῖνοι τὰ μὲν εὐαγγέλια τῆς ἐλευθερίας δεδέχθαι· μηδέπω δὲ ταύτης τετυχηκέναι· οὗ δὴ χάριν ἀντιβολοῦσι τελείως τυχεῖν τῆς φιλανθρωπίας, ὅτι ἴσμεν σου, δέσποτα, τὸ φιλάνθρωπον· ἐπεποίθαμεν ὅτι σὺ καὶ τὴν ἐπάνοδον παρέξεις, καὶ τὴν ζωήν· ἡμεῖς δὲ τούτων ἀπολαύσαντες, κατ' εὐφροσύνην σοι τὸν ὕμνον προσοίσομεν.

v. 46 Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ.

Δεῖ πρότερον ἡμᾶς γενέσθαι ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ, τουτέστιν ὁμοίους ταῖς ἁγίαις δυνάμεσιν, ἔπειτα δὲ καὶ αὐτῷ παρεμφέρειν τῷ τῆς δικαιοσύνης ἡλίῳ. Δεῖ γὰρ πάντως τὴν εὐχὴν τοῦ δεσπότου πληρῶσαι· Ἰησοῦς γάρ ἐστιν ὁ προσευξάμενος· Δὸς αὐτοῖς, φησίν, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι, καθὼς καὶ ἓν ἐσμεν. Οὕτω γὰρ ἐσόμεθα, μὴ αὔξησιν καὶ μείωσιν κατὰ τὴν γνῶσιν λαμβάνοντες.

v. 51-53. Μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχου ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν. Οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Γένοιτο! Γένοιτο!

Κόλπον, τὸ ἀκόρεστον εἴπομεν σημαίνειν πολλάκις. Τοῦτο οὖν λέγει· πολλῶν εἰμι, φησίν, ὀνειδισμῶν ὑποδοχεύς, καὶ τοσούτων ἀναποβλήτων, σχεδὸν ἡνουμένων, παρὰ τῶν ἐχθρῶν, μνησθεὶς οὖν τούτων, καὶ ὅτι τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου ὠνείδισαν, ἤτοι τὰ ἴχνη· οὕτως γὰρ ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν, ὅτι ἴχνη τοῦ Χριστοῦ σου τυγχάνουσιν οἱ νῦν βασιλεῖς. Καὶ ὅτι ἀν-

dirigit in populi Judæorum persona, dignos eos esse consequi gratiam. Visi quidem illi sunt ipsimet recepisse faustos libertatis nuntios, sed illa fuisse nullomodo potitos: propterea deprecantur perfecte frui divina clementia, quia tuum, Domine, novimus hominum amorem. Optamus ut tu demum reditum præstes et vitam; nos vero his bonis gaudentes, tibi cum exultatione hymnum proferemus.

v. 46. *Minorasti dies temporis ejus.*

Primo loco, oportet nos fieri sicut dies cœli, id est sanctis potestatibus similes; deinde, etiam ad ipsum accedere solem justitiæ. Necesse enim est, omnino compleatur oratio Domini nostri. Jesus enim ille est qui id precatus est: « Da illis, ut etiam sint unum in nobis, sicut et nos unum sumus. » In hunc enim modum erimus nullum in scientia recipientes sive incrementum, sive detrimentum.

v. 51-53. *Memor esto, Domine, opprobrii servorum tuorum (quod continui in sinu meo), multarum gentium: quod exprobraverunt inimici tui, Domine, quod exprobraverunt commutationem Christi tui. Benedictus Dominus in æternum. Fiat, fiat!*

Saepenumero jam diximus *sinum* significare aliquid inexhaustum. Hoc igitur ait: Multis quum opprobriis, inquit, ego subjaceam, totque convicia ab inimicis receperim, quæ nedum missa procul fuerint, mihi adhærent, igitur horum memor esto, et quomodo exprobraverint *commutationem Christi tui,* sive mortalia ejus *vestigia.* Ita enim Symmachus et Theo-

v. 46. Vat. 2, 3, 5, 6, 15. Joan. XVII, 22. Vat. 3 habet αὐταῖς παρεμφέρειν, et paulo post πληρῶσαι.

v. 51-53. Vat. 2, 4, 6, 7. De *sinu* Origenes dixerat supra in Ps. LXXVIII, et Ps. XXVI, 13. Hexapla apud Field. II. 245. De *commutatione dominici corporis* propitiatoria in remissionem peccatorum *ex transubstantiatione,* ut theologi loquuntur, eodem modo disputat Theodor. Heracl. apod Corder. 11, 817. Omnia BB. coercent et concludunt hoc frigido verbo: τάχα ὁ χωριακὸς ἄνθρωπος, nec plura. Paulo fusius Laur. Pl. VI, 3 in hunc modum: Ἔστιν ὁ θάνατος αὐτοῦ καὶ τὸ αἷμα τὸ ἀντίλυτρον δεδομένον τῇ τοῦ κόσμου σωτηρίᾳ, ὃ ὠνείδιζον ὑπολαμβάνοντες αὐτὸν κεκρατῆσθαι θανάτῳ.

τάλλαγμα, παῦσον ἤδη, δέσποτα, τὰ ὀνείδη, ἀντάλλαγμα, [ἤτοι] τὴν μεταβολὴν τοῦ Χριστοῦ σου, ἢ τοῦ Δαυίδ, καθὸ ἡ ἀρχὴ μετεβλήθη εἰς δοῦλον· τοῦτο ἡμῖν ὠνειδίζον εἰς σὲ καὶ τὸν ἐπαγγελλόμενον ταῦτα τείνει. — Εἴη δ'ἂν ἀντάλλαγμα Χριστοῦ ὁ κυριακὸς ἄνθρωπος καὶ τὸ δοθὲν αὐτοῦ αἷμα ἀντίλυτρον τῆς τοῦ κόσμου σωτηρίας. Εἴη δ' ἂν ταῦτα εἰπόντες, εὐχῇ τὴν δέησιν ἐπισφραγίζουσι, δεικνύντες ὡς καὶ ἐν πειρασμοῖς δοξάζειν χρὴ τὸν Θεόν, οὐ δυσχεραίνειν, ἀλλ' εὐχαριστεῖν. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο! — Ἢ οὕτως· ἐν τοῖς κόλποις τὰ δῶρα, ὅταν προφέρωσί τινα, μνησθῆναι δὴ παρακαλοῦσι Θεὸν τῆς ὑποσχέσεως, τῆς δοθείσης ἐν τοῖς κόλποις τῶν ἐθνῶν. — Ἢ κόλπον ἐνταῦθα τὴν ψυχὴν λέγει, διά τε καὶ τὴν γνῶσιν τὴν τοῦ Θεοῦ ἀγαθὰ ὀνομάζεσθαι· ἀγαθὰ δὲ τὰ ἐν κόλποις πέφυκε βάλλεσθαι· πιστεύω γάρ, φησί, τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.

dotion interpretati sunt, nempe vestigia Christi tui fiunt reges qui nunc sunt. Et quoniam *commutatio est,* fac tandem, Domine, cessent opprobria, vel mutatio Christi, sive Davidis, eo usque ut potestas transierit in servum. Quod si nobis id opprobrio vertitur, eadem ad te pertingunt, et ad eum qui missus est. — Possit autem esse *commutatio Christi* Dominicus homo et sanguis ejus, qui in pretium pro salute mundi datus est. Ita ut quum hæc dixerint, voto concludunt preces, ostendentes oportere vel inter ærumnas gloriam Dei canere, non contristari, sed gratias agere. *Benedictus Dominus in æternum, fiat, fiat.* — Vel sic: quum in sinibus ponantur dona, quando quædam offerentur, deprecantur Deum, ut recordetur datæ promissionis reconditæ in sinibus gentium. — Vel sinum ibi animam vocat, quia etiam bonorum nomine scientia Dei appellatur. Bona autem in sinum projici solent. « Credo enim, inquit, bona Domini videre in terra viventium. »

Psalmus LXXXIX.

v. 3. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν. *Vat.* 683, 1.

Τότε ἀποστρέφεσθαι ἄνθρωπόν φησιν εἰς ταπείνωσιν, ὅταν διὰ τῆς ἁμαρτίας ἐγκαταλίπῃ αὐτόν.

v. 4. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθεν.

Οὐ περὶ τὴν γνῶσιν, οὔτε περὶ τὸ γινώσκειν θεωρεῖται ὁ χρόνος· καιρὸς γὰρ καὶ ἡμέρα καὶ χρόνος τῆς σωματικῆς ἐστι φύσεως· σωμάτων δὲ δημιουργός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

v. 6. Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι.

Πρωῒ μὲν τὸν καιρὸν τῆς γενομένης αὐ-

v. 3. *Ne avertas hominem in humilitatem.*

Avertit Deus, inquit, *hominem in humilitatem,* quando ob peccatum dereliquit eum.

v. 4. *Quoniam mille anni in oculis tuis tamquam dies hesterna quæ præteriit.*

Tempus non consideratur in scientia sive acquisita, sive acquirenda: tempus enim et dies et duratio ad naturam spectant corpoream: corporum autem creator est Dominus noster Christus Jesus.

v. 6. *Mane sicut herba transeat.*

Mane significat tempus in quo Chri-

Ps. LXXXIX. v. 3, 4. Vat. 5.

τοῖς ἐπιφανείας τοῦ Χριστοῦ ἐν τῷ ὄρει Σινᾷ κατασημαίνει· χλόη δὲ τὴν νομικὴν λατρείαν δηλοῖ, ἅτε μικρὸν ὕστερον περαίνεσθαι μέλλουσαν.

v. 9. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν· τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων.

Ὅταν πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐκλίπωσαν, καὶ ἐν τῇ ὀργῇ τοῦ Θεοῦ ἐκλίπωμεν. — Καὶ ἐφ' οἷς ἡμάρτωμεν, μελετήσωμεν τὰ ἔτη ἡμῶν, ὡσεὶ ἀράχνη. Οὐδὲν βέβαιον, φησίν, οὐδὲ σταθερὸν ἡ ἀνθρωπεία φύσις ἔχει, ὅτι δίκην ἀράχνης διασπᾶται ῥᾳδίως.

v. 10. Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν ἐνιαυτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος.

Ζήσωμεν οὐχ ἑβδομήκοντα ἔτη, τὰ τοῦ σαββάτου, ἀλλὰ ὀγδοήκοντα, τὰ τῆς περιτομῆς καὶ ἀναστάσεως τοῦ Κυρίου βιωσώμεθα, ὧν τὸ πλεῖον κόπος ἐστὶ καὶ πόνος.

v. 11. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου τοῦ θυμοῦ σου ἐξαριθμήσασθαι;

Σοφίας δὲ χρῄζομεν εἰς τὸ γινώσκειν τὸ κράτος τῆς ὀργῆς τοῦ Θεοῦ, ὅπερ κἂν ἐπὶ πόσον φαντασθῇ, οἱ ἑτερόδοξοι οὐκ ἂν κακῶς ἔλεγον τὸν Θεόν, οὗ ἐστιν ἡ τὸ δύσγνωστον κράτος ἔχουσα ὀργή. Ἀπὸ κοινοῦ δὲ τό· Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ τίς γινώσκει ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου;

v. 12. Τὴν δεξιάν σου γνώρισον, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.

Πεπαιδευμένοι δὲ τῇ καρδίᾳ ἐν σοφίᾳ οἱ καθαροὶ τῇ καρδίᾳ εἰσίν. Ἢ ἀπὸ κοινοῦ·

stus manifestatus est in monte Sina; ***herba*** autem cultum legalem declarat, qui modico tempore subsistere debuit.

v. 9. ***Quoniam omnes dies nostri defecerunt, et in ira tua defecimus; anni nostri sicut aranea meditati sunt.***

Quando omnes dies nostri defecerunt, etiam in ira Dei defecimus; et in quibus peccavimus, meditati sumus annos nostros esse sicut araneam. Nihil firmum, ait, nec solidum habet humana natura, quæ ut araneæ tela, facile rumpitur.

v. 10. ***Dies annorum nostrorum in ipsis septuaginta anni, si autem in potentatibus octoginta anni, quod amplius eorum labor et dolor.***

Vivamus, non quidem septuaginta annos qui sabbati sunt, sed octoginta, puta circumcisionis et resurrectionis Domini; quod ultra est, non nisi labor et dolor.

v. 11. ***Quis novit potestatem iræ tuæ, et præ timore tuo iram tuam dinumerare?***

Sapere oportet ad cognoscendum quantum valeat ira Dei, de qua heterodoxi, quantumvis somniaverint, non nisi malum dixere Deum, cujus ira, ubi eruperit, vim habet cognitu imperviam. In communi Scripturarum lectione est: ***Quis novit potestatem iræ tuæ, et quis præ timore cognoscit iram tuam?***

v. 12. ***Dexteram tuam sic notam fac, et eruditos corde in sapientia.***

Corde autem eruditi sunt in sapientia, mundi corde. — Vel ut communis Scri-

v. 6. 9. Vat. 15.

v. 10. Vat. 4. cf. supra de numeris VII et VIII Ps. LXXVIII, v. 12.

v. 11, 12. Vat. 2, 4. Memorari bis editionem tunc communem τῶν ο', vel apud Origenem satis rarum est. Nec minus notatu dignum vulgatam veterum Græcorum haud parum a circumlatis apud nos LXX, et etiam a codice vaticano recedere. Quæ spero fore ut declarentur a cl. Paulo de la Garde, a quo expectamus novam LXX, immo S. Luciani codicum editionem absolutam, cf. Field. II. 247, ubi nostra silentur.

Γνώρισον τοῖς πιστοῖς πᾶσι τὴν δεξιάν σου, μὴ ἐπὶ κολάσει, ἀλλ' ἐπὶ φιλανθρωπίᾳ γνωρισθήσεται ἡ δεξιά σου.

v. 13. Ἐπίστρεψον, Κύριε, ἕως ποτε; καὶ παρακλήθητι ἐπὶ τοὺς δούλους σου;

Ἀντὶ τοῦ· Ἐπανάγαγε ἡμᾶς, δέσποτα, παρακληθεὶς ἐφ' ἡμᾶς, καὶ μὴ ἐπὶ πλεῖστον παρίδῃς ὀδυνωμένους, ἀλλὰ δέξαι τὴν ἱκεσίαν, καὶ φιλανθρωπίαν τοὺς σοὺς ἀξίωσον δούλους, τοὺς ἐκ τῆς περιτομῆς. Καὶ ταῦτα διδάσκει λέγειν μετὰ τὴν ἔπτωσιν· Ἐπιστράφητι, Κύριε, ἕως ποτε κτλ.

v. 14, 15. Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά.

Χόρτασον ἡμᾶς ὀρθρίνου ἐλέους σου, ἵνα ὑπνώσωμεν καὶ εὐφραινώμεθα ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὔφρανον ἡμᾶς ἐπὶ πάσας τὰς ἡμέρας ἃς ἐκάκωσας ἡμᾶς. Γενομένης γὰρ ἀναστάσεως ὄρθρου, ἐπλήσθη πᾶσα ἡ γῆ τοῦ ἐλέους Χριστοῦ. — Χρήσιμον τοῦτο πρὸς τοὺς ἀπὸ τῆς κακίας μετανοήσαντας καὶ καταξιωθέντας γνώσεως.

v. 17. Καὶ ἔστω ἡ λαμπρότης Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς.

Τῷ φωτὶ τῆς γνώσεως ἐλλαμπόμενος τοῦτο ἐρεῖ. Καὶ οὐ λάμπει τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων. Λαμπρότης ἐστι γνῶσις Θεοῦ. Τὸ φῶς τὸ ἀληθινόν ἐστιν ὁ Χριστός· κατασκηνοῖ γὰρ πᾶσι τοῖς πιστοῖς.

ptura habet: *Notam fac fidelibus cunctis dexteram tuam.* Noli per castigationem, sed cum humanitate notam facere dexteram tuam.

v. 13. *Convertere, Domine, usquequo? Et invocator super servos tuos.*

Videlicet, reduc nos, Domine, qui in solatium invocatus fuisti super nos, neque amplius nos prætermittas dolore cruciatos: sed supplices nos excipe, tuisque servis clementiam tuam largitor, ex circumcisione ortos. Et hæc dicere docet post lapsum: *Convertere, etc.*

v. 14, 15. *Repleti sumus mane misericordia tua, et exultavimus, et lætati sumus omnibus diebus nostris pro quibus diebus nos humiliasti, annis quibus vidimus mala.*

Saturos fac nos matutina misericordia, ut requiescamus, et lætemur in omnibus diebus nostris. Lætifica nos, pro singulis diebus in quibus afflixisti nos. Etenim succedente matutina resurrectione, impleta est omnis terra misericordia Christi. — Utilis sermo iis quos pravæ vitæ pœnituit, et qui digni scientia facti sunt.

v. 17. *Et sit splendor Domini Dei nostri super nos.*

Qui scientiæ face illustratur, hoc dicet. Neque coram hominibus emicat lux. Splendor est scientia Dei. Lumen verum est Christus: inhabitat enim omnibus fidelibus.

v. 13. Vat. 4.
v. 14, 15. Vat. 5.
v. 17. Vat. 4. Theodor. Heracl. fere ad verbum, cum clausula: ἧς μετέχοντες καλοῦνται, λαμπρότητες. Ubique micat gnostica, ὡς εἰπεῖν, tessera Origenis.

Psalmus XC.

v. 1, 2. Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται· ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, ἐλπιῶ ἐπ' αὐτόν. *Vat.* 682, 2.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου λέγει ἕως τοῦ· ἐλπιῶ ἐπ' αὐτόν. Ἀληθεύει τὸ ἀντειλῆφθαι τὸν Κύριον, καὶ καταφυγὴν αὐτοῦ εἶναι τὸν Θεόν.

v. 3, Ὅτι αὐτὸς ῥύσεται ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐντεῦθεν λόγον πρὸς αὐτὸν ποιεῖται τὸν πεπιστευκότα τοὺς λόγους, καὶ παραθαῤῥύνει, λέγων· ὡς οὐ μόνον τῶν προφανῶν πολεμίων ἀποφανεῖ κρείττους, ἀλλὰ καὶ τῶν ἐνεδρευόντων, καὶ λάθρα τυρευόντων ἐπιβουλὴν, διὰ γὰρ τῆς παγίδος τοῦτο δεδήλωκε. — Τὸν δὲ ταραχώδη λόγον ἐπήρειαν λόγου, ὁ Σύμμαχος εἴρηκε· τοιοῦτοι γὰρ οἱ ψευδεῖς καὶ συκοφαντίας ῥάπτοντες λόγους. Ἢ οὕτως λέγει ἐνταῦθα· ἡ γῆ ὕεται τὸν Θεὸν βοηθὸν, ὡς ἀπαλλάττειν ἀρκοῦντα πάσης μὲν ἐπιβουλῆς τῶν πολεμίων, πάσης δὲ ἀγελλίας ταράττειν δυναμένης ῥύσασθαι. Ταῦτα δὲ πάντα ἐπ' Ἐζεχίου γεγένηται, τῶν Ἀσσυρίων πάσας μὲν, ὥσπερ θήρατρα, τῇ οἰκείᾳ συλλαβόντων ἐφόδους, καὶ τοὺς μὲν ἀποκτεινάντων, τοὺς δὲ αἰχμαλώτους λαβόντων· καὶ τούτων δὲ ἰσχύειν δυνηθέντων πλέον οὐδὲν διὰ τὴν ἐπενεχθεῖσαν αὐτοῖς ἐκ Θεοῦ τιμωρίαν.

v. 5, 6. Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Δαίμονα δέ μεσήμβριον ὀνομάζει τὴν ἀκηδίαν, ἤτοι τὴν ὀλιγωρίαν· συμβαίνει δὲ τοῦτό

Ps. xc, v. 1, 2. Vat. 4.
v. 3. Vat. 4, 15. Cf. Field. II. 248, juxta Theodoretum, qui nostra tenuit et exerpsit.
v. 5, 6. Laurent. Plut. VI, 3.

v. 1, 2. ***Qui habitat in adjutorio Altissimi, in protectione Dei cœli commorabitur. Dicet Domino: Susceptor meus es et refugium meum, Deus meus, sperabo in eum.***

Qui habitat in adjutorio Altissimi, ille loquitur usque ad verba ***sperabo in eum.*** Idem verum comperit, Dominum præsto fuisse in auxilium, et Deum esse ipsius refugium.

v. 3. ***Quoniam ipse liberabit ex laqueo venantium et a verbo aspero.***

Inde sermonem Deus habet cum illo qui credidit verbis suis, et fiduciam ei adauget, aiens eum non solum apertis hostibus futurum esse fortiorem, sed etiam adversus insidiantes et clanculum machinantes dolum; nam per laqueum hoc declaravit. — Verbum autem asperum apud Symmachum est ***contumelia sermonis.*** Tales quippe sunt qui sermones mendaces et calumnias texunt. — Vel sic ait ibi: terra compluitur Deo auxilia largiente, qui avertere sufficiat quascumque inimicorum insidias, et eximat ab omni nuntio qui perturbare queat. Hæc vero omnia sub Ezechia concurrerunt, quum Assyrii, more venatorum, intra patriæ fines, omni impetu grassarentur, hos quidem interimentes, hos vero vinctos rapientes, et in his calamitatibus eo vehementius valentes, quod, Deo permittente, formidinem incuterent.

v. 5, 6. ***Non timebis a timore nocturno, a sagitta volante per diem, a negotio perambulante in tenebris, ab incursu et dæmonio meridiano.***

Dæmonium meridianum vocat, tepidum esse et pusillanimem: id quod non-

τισιν· ἐσθότε σύμπτωμα τοίνυν πάσχουσί τινὲς, ὅταν ὁ νοῦς ἐκλάσῃ πρὸς φιληδονίαν, ὅταν ἀτονήσῃ καρδία, κατενέχθῃ πρὸς φιλοσαρκίαν, ὅταν ἀκηδιάσῃ πρὸς τὰ τῆς εὐσεβείας ἔργα, καὶ ἐνγεράσῃ πρὸς πόνους τοὺς ὑπὲρ τῆς ἀρέτης· ἀλλὰ καὶ τότε συνζεῖ Θεῷ· ἀπολλάττει γὰρ συμπτώματος ἐξ ἀκηδίας, τουτέστι δαιμονίου μεσημβρίου.

nullis occurrit. Interdum vero quidam incursum patiuntur, quando mens frangitur voluptatum libidine, quando quis corde flaccescit, et invaditur carnis amore, quando torpet ad religionis opera, et veterno languescit in laboribus qui ad virtutem spectant: verum etiam tunc in Deo convivat, ut qui tuetur ab incursu teporis, puta a dæmonio meridiano.

v. 10. Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγύει τῷ σκηνώματί σου.

v- 10. *Non accedent ad te mala, et flagellum non appropinquabit tabernaculo tuo.*

Εἴ τις βούλοιτο μὴ περιπεσεῖν μάστιγι, γενέσθω οἶκος Θεοῦ. Κρείττων ἔσῃ τῶν διαβολικῶν προβολῶν, καὶ βλάβην ἐκεῖθεν οὐ δέξῃ, καὶ δυναστεία τοῦ διαβόλου οὐ κυριεύσει σοι.

Si quis nolit cadere in flagellum, fiat Dei tabernaculum. Validior eris præ Diaboli impressionibus, nec detrimentum patieris, neque potestas Diaboli prævalebit tibi.

v. 10. Vat. 2, 15.

Psalmus XCI.

v. 2. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. *Vat.* 684, 1.

v. 2. *Bonum est confiteri Domino, et psaltere nomini tuo, Altissime.*

Πρότερον μετανοήσαντα ἐξομολογήσασθαι δεῖ, εἶτα καθαρεύσαντα ψάλλειν· εἰ οὖν τῶν ποιητέων ἀγαθόν ἐστι τὸ ἐξομολογεῖσθαι τῷ δικαίῳ, ποιητέα δὲ ἀγαθὰ εἴρηται ἐν τοῖς· Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, καὶ οὐδὲν τῶν ἀγαθῶν εὐκόλως γένεται, ζητητέον ἐξομολογεῖσθαι, ὃ ἀγαθόν ἐστι, μήποτε οὖν μόνος καὶ ὡς ὁ μηκέτι ἁμαρτάνων ἐξομολογεῖται. Ὁμοίως εἰ ἀγαθόν ἐστι τὸ ψάλλειν τῷ ὀνόματι τοῦ Ὑψίστου, πνευματικῶς ψαλτέον· οὐ γὰρ ὁ ἐκκλίνων ἐν τοῖς ἀσθητοῖς, ψάλλειν τὴν φωνὴν ἀγαθὸν πε-

Primum oportet pœnitentem confiteri, deinde jam non immundum psallere. Si ergo inter illa quæ agenda sunt, laudum munera solvere bonum est justo, bona autem esse facienda, ita præcipitur: «Declina a malo, et fac bonum,» ac nullum ex bonis facile peragitur, quærendum est de confessione, quæ bona est, an solus id agat, qui tanquam nullo admisso peccato confitetur. Similiter si bonum est psallere nomini Altissimi, psallendum est spiritualiter. Haud enim

Ps. xci, v. 2. Vat. 4. Ps. xxxvi, 27. Multa de psalterio et decachordo anepigrapha, fort. Origeni restituenda, idem habet cod. 4, una cum Vat. 14, quæ confertim transierunt ad Theodoretum. Sed admirationem movere possit, quod in vers. 4 et 5, apud Corder. ii, 900, bis ad duo scholia occurrat inexspectatum nomen Ἱλαρίου. neque negandum, adhuc superesse fragmentum in cod. unciali vaticano ex magni Hilarii commentario in eumdem psalm. xci. Attamen duo scholia Hilario inscripta a Corderio, videlicet χρὴ τοίνυν et τὴν γὰρ τοῦ βρέθοντος, nostri codd. Vaticani omnino et liquido eadem ascribunt *Apollinario.*

ποίηκε, πολλῶν δὲ φαυλοτάτων τοῦτο ποιούντων.

ille qui tantum ad aurium sensus vocem deflectit, bene solet facere. Et hoc est multorum protervorum, hoc more agentium.

v. 4. Ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ.

Δεκάχορδον ψαλτήριον τὸ σῶμά φησι. Τοιούτοις ὀργάνοις εἰώθασιν τὸν Θεὸν ἀνυμνεῖν· λέγει τοίνυν ὅτι καὶ τοῖς νενομισμένοις ἐνακρουόμενος ὀργάνοις, καὶ τῆς γλώττης μελῳδίαις χρώμενος, σοὶ προσφέρω τὸν χαριστήριον ὕμνον. Ὁρῶν γάρ σου τὰς δημιουργίας καὶ τὰς ἀῤῥήτους οἰκονομίας, ἀγάλλομαι καὶ γάννυμαι, καὶ τῇ τῆς ψυχῆς ἡδόνῃ τὴν γλῶτταν εἰς ὑμνῳδίαν κινῶ. Ἐγὼ μὲν γάρ, φησί, τὰ σὰ ἔργα ἀνυμνῶ, καὶ τῷ βάθει τῶν σῶν λογισμῶν ἐκπλήττομαι, ὧν ἐν τῇ οἰκονομίᾳ εἰργάσω. Ἀλλ' οἱ ἄφρονες οὐ συνίασιν τοῦ μυστηρίου τὸ βάθος.

v. 4. *In decachordo psalterio, cum cantico in cithara.*

Decachordum psalterium dicit corpus. Hisce instrumentis Deum laudare consueverunt. Ait autem: Ego his usus instrumentis, quæ sono celebrantur, concentum etiam meæ linguæ usurpans, tibi offero hymnum eucharisticum. Considerans enim tua in creatione opera, tuasque ineffabiles providendi rationes, exulto et exhilaror, et in voluptate animæ linguam ad hymnodiam cieo. Ego enim, inquit, opera tua faustis attollo vocibus, et in profunda tuorum consiliorum altitudine obstupesco, quæ in tua œconomia operatus es. Sed insipientes non intelligunt profundum mysterii arcanum.

v. 8. Ἐν τῷ ἀνατεῖλαι τοὺς ἁμαρτωλοὺς ὡσεὶ χόρτον.

Τὸ πῦρ, ὃ ἦλθεν βάλλειν ὁ Κύριος ἡμῶν εἰς τὴν γῆν, κατακαίει ξύλα, χόρτον, κάλαμον.

v. 8. *Cum exorti fuerint peccatores sicut fenum.*

Ignis, quem venit Dominus mittere in terram, incendit lignum, fenum, stipulam.

v. 12. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις εἰσακούσεται τὸ οὖς μου.

Χρήσιμον τὸ ῥητὸν πρὸς τοὺς ἐμφανιζομένους δαίμονας ἡμῖν καὶ πειρωμένους ἡμᾶς ἐκφοβεῖν. Νοσῶν καὶ συνέσεως ἔρημος τοῦτον οὐδὲν γενέσθαι.

v. 12. *Et despexit oculus meus inimicos meos, et in insurgentibus in me malignantibus exaudiet auris mea.*

Utile verbum adversus Dæmones, nobis se manifestantes ac terrere conantes. Ægrotans et intellectu vacuus nil horum capit.

v. 15. Τότε πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι.

Ὁ ἐν γήρᾳ πίων, πολλὰ ἀγαθὰ πληθύνεται ἐν γήρᾳ πίονι, καὶ εὐπαθοῦντες ἐν ταῖς καλουμέναις εὐπαθείαις ἔσονται, οἱονεὶ ἐν τῇ χαρᾷ καὶ εὐλαβείᾳ τοὺς τῆς ἀρετῆς στεφάνους κομιζόμενοι.

v. 15. *Tunc multiplicabuntur in senecta uberi, et bene patientes erunt ut annuntient.*

Qui senectute pinguis est, multa bona multiplicat in uberi senectute; hujusmodi viri bene patientes erunt in his quæ dicuntur bonæ afflictiones, ac veluti lætabundi et Deo grati, virtutis coronas sibi acquirunt.

v. 4. Vat. 10, 14.
v. 8. Vat. 5, 16. Luc. XII, 49. 1 Cor. III, 12.
v. 12. Vat. 5, 16.
v. 15. Vat. 4, 16.

Psalmus XCII.

v. 1, 2. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο, καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. *Vat.* 684, 2.

Οἱ μὲν πρῶτοι τρεῖς στίχοι παρ' αὐτοῦ τοῖς ἀκούουσι λέγονται, διδάσκοντες ἡμᾶς τί ἐνεδύσατο καὶ περιεζώσατο βασιλεύσας, καὶ πῶς τὴν μὲν σαλευομένην οἰκουμένην ἐστερέωσεν. Ὁ δὲ ἑξῆς πρὸς αὐτὸν, ἡ Ἰησοῦ ψυχὴ κοσμησαμένη τῷ πρωτοτόκῳ πάσης κτίσεως, ὄντι δυνάμει, ὡς καὶ ὁ Ἀπόστολος ἐδίδαξεν.

Οἶμαι δὲ ὅτι καὶ εὐπρέπεια Κύριός ἐστιν ὃς ἐβασίλευσε, καὶ εὐπρέπειαν ἐνεδύσατο. Χρεία γὰρ ἦν, ὡς διὰ τὸ μέγεθος περικεχύμενον αὐτὸν, οὕτω τὴν δύναμιν μέγιστον οὖσαν χιτῶνα στεῖλαι τῇ ζώνῃ (μέγας γὰρ ὁ κόσμος) καὶ ἐσταλμένην αὐτὴν χωρῆσαι ἠδύνατο. Τῷ σώματι χιτῶνα ζώννυταί τις, ἵνα εὐσταλῶς ᾖ περικείμενος.

Ἄλλοι δὲ οἰήσονται χιτῶνα καὶ ζώνην εἶναι τὴν δύναμιν, οἰκουμένην δὲ στερεωθεῖσαν ὑπὸ τοῦ βασιλεύσαντος Κυρίου, καὶ μὴ σαλευθεῖσαν νομίζω εἶναι τὴν ἐκκλησίαν. Δείκνυσιν τὰ ἐντεῦθεν γενόμενα κατορθώματα· ἕδραιε, φησί, τὸν οἶκόν μου, ἀπέφηνε καὶ στερρὰν καὶ τὸ βέβαιον τῆς ἀληθείας ἔχουσαν· οὐκέτι γὰρ οἱ ἄνθρωποι νῦν μετὰ τούτους, νῦν δὲ ἐκείνους τοὺς θεοὺς προσκυνοῦσι, ἀλλὰ τῷ ἀληθινῷ Θεῷ τὸ σέβας προσνέμουσι. Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ [ὑπέταξεν].

Ἕτοιμος, ἀντὶ τοῦ ἑδραῖος καὶ ἐν τῷ ἀμετατρέπτῳ ἱδρυμένος. Καὶ τό· ἀπὸ τότε,

v. 1, 2. *Dominus regnavit, decorem induit. Induit Dominus fortitudinem, et præcinxit se. Etenim firmavit orbem terræ, qui non commovebitur. Parata sedes tua ex tunc: a sæculo tu es.*

Tres priores versus ab hoc propheta ad auditores diriguntur, unde edocemur quid induerit, et qualem zonam regnando cinxerit, et quomodo commotum orbem firmaverit. Sequens autem versus ad se direxit, id est anima Jesu, Verbo ornata, primogenito totius creationis, qui virtus per se est, ut etiam docuit Apostolus.

Opinor autem decorem esse ipsum Dominum, qui regnavit, et decorem induit. Opus enim erat ut sicut magnitudine circumdatus est, ita zonæ instar, accingeret virtutem, quæ tunica maxima illius est (magnus enim mundus), qua extensa orbem continere possit. Quisque enim corpori accingit paludamentum, ut decoro ambitu circumdetur.

Alii vero existimabunt tunicam et zonam esse fortitudinem; orbem vero fuisse confirmatum regno Domini, nec fuisse, opinor, commotam Ecclesiam. Exponit peracta exinde recta opera. Stabilivit, ait, domum meam, ostenditque eam solidam, firmitatemque veritatis habentem. Etenim nequaquam homines hodierni qui istis succedunt, jam nunc illos deos adorant, sed vero Deo venerationem dedicant. Oportet eum regnare, donec omnes inimicos sub Christi pedibus posuerit.

Parata, pro firma, et ita stabilita, ut non transmutetur. Et hoc *ex tunc* pro an-

Ps. xcii. v. 1, 2. Vat. 4. Ps. cx. 3. lxxv, 8, xviii, 8. Joan. vii, 58. Erit qui putet ultima scholii verba lemma esse adjectitium recentioris catenarum opificis. At non semel Origenes orbem Christo subditum superbiens ostendit. — F. leg. ὄντι Θεοῦ δυνάμει, cf. I Cor. 1, 24.

ἀντὶ τοῦ ἄνωθεν καὶ ἀπ' ἀρχῆς, ὡς καί· ἀπὸ τότε ἡ ὀργή σου, ἀντὶ τοῦ· ἐξ ἀρχῆς προέγνωστό σοι τὰ τῆς τιμωρίας τοῦ πολεμίου. Εἶτα ἐπεὶ εἶπεν, ὅτι ἐξ ἀρχῆς βασιλεύεις, ἐπήγαγε βεβαιῶν, ὅτι ἀπὸ αἰῶνος σὺ εἶ. Οὐ νῦν, φησί, τὴν τῆς βασιλείας ἐδέξω χειροτονίαν, ἀλλ' ἀΐδιον ἔχεις τὴν βασιλείαν. Ἢ' ἕτοιμος ὁ θρόνος σου, διὰ τὸ προορισθῆναι ἀπὸ καταβολῆς κόσμου τὴν τοῦ ἀνθρωπείου γένους σωτηρίαν διὰ τῆς παρουσίας αὐτοῦ. Θρόνος γὰρ τὴν ἀνάστασιν σημαίνει, τὴν ἑτοίμην εἰς τὸ κρίνειν τοὺς ἀδικήσαντας ἡμᾶς δαίμονας. Τὸ δέ· ἀπὸ τότε, ἀορίστως, ἀντὶ τοῦ ἀεί· τὴν γὰρ ὕπαρξιν ἀΐδιον κέκτηται.

v. 3. Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Ποταμοὺς δὲ καλεῖ καὶ τὰ στρατόπεδα τῶν ἐχθρῶν, διὰ τὸ σφοδρὸν τῆς ὀργῆς· διὰ τοῦτο γὰρ εἶπεν ἀπὸ ὑδάτων πολλῶν, ἀντὶ τοῦ· πολλοὶ ὄντες. Ποταμοὺς γὰρ ἐκείνους εἰπών, τῇ τροπολογίᾳ ἐπέμεινεν.

v. 4. Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν.

Ποταμοὺς δὲ [νόει] τοὺς ἱεροὺς ἀποστόλους καὶ τοὺς εὐαγγελιστάς, οἱ τὴν τοῦ Θεοῦ ἐκκλησίαν τοῖς πνευματικοῖς κατηύφραναν νάμασι· οὗτοι τοίνυν οἱ ποταμοὶ ἐπῆραν αὐτῶν τὴν φωνήν, τὰ θεῖα κηρύττοντες δόγματα, καὶ τὰς οἰκείας πορείας πορευόμενοι. Ἐπιτρίψεις γὰρ τὰς τρίβους αὐτῶν ἐκάλεσε. Τουτέστιν οἱ πρῶτοι πιστευθέντες τὸ κήρυγμα, ἐπειδὴ πέφυκε τῶν ὑδάτων ἡ φύσις τρίβειν τὴν ὑποκειμένην γῆν καὶ πόρειαν ἐργάζεσθαι, εἰκότως τρίψιν ποταμῶν τὴν πορείαν ἐκάλεσε.

v. 4, 5. Θαυμαστὸς ἐν ὑψηλοῖς Κύριος, τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

v. 3, Vat. 5.
v. 4-5. Vat. 5. II. Cor. VI, 16. Ps. XVIII, 8. In codd. scholium incipit οὐκ ἐν τοῖς quod emendavimus.

te et ab initio, ut ibi: « Ex tunc ira tua; » seu pro hac periodo: ab initio præcognita sunt consilia quibus hostis formidandus est. Deinde postquam dixit: Tu ab initio regnas, pergit confirmando: *quoniam a sæculo tu es*. Non jam nunc, ait, regiam accepisti manuum impositionem, sed æternum tu regnum possides. — Vel *parata sedes tua,* ob præordinatam a constitutione mundi salutem humani generis per adventum ejus. Thronus enim resurrectionem significat, quæ ad judicandum dæmones nobis vexantes parata est. Illud autem *ex tunc* est modo indefinito pro semper. Existere enim in sempiternum consecutus est.

v. 3. *Elevaverunt flumina, Domine, elevaverunt flumina vocem suam, a vocibus aquarum multarum.*

Flumina autem vocat etiam hostium castra, ob furoris impetum. Idcirco ait: *a vocibus aquarum multarum,* ac si diceret eos permultos esse. Dum enim eos *flumina* vocat, tropologia utitur.

v. 4. *Elevaverunt flumina concitos fluctus suos.*

Flumina autem intellige sacros apostolos et evangelistas, qui spiritualibus lymphis Ecclesiam Dei lætissimam effecerunt. Talia porro flumina elevare solent vocem suam, dum divina prædicant dogmata, dum sua per itinera deambulant. Concitos enim fluctus vocat eorum semitas, hoc est, qui priores crediderunt prædicationi, posterioribus viam straverunt. Ea quum sit aquarum natura, ut sulcos in humo viamque itineris aperiant, congrue iter vocavit fluminum concitos fluctus.

v. 4, 5. *Mirabilis in altis Dominus. Testimonia tua credibilia facta sunt nimis. Domum tuam, Domine, decet sanctitudo in longitudinem dierum.*

Οὐκοῦν ἐν τοῖς τυχοῦσι, ψεκτῶς ταπεινοῖς, θαυμαστὸς ὁ Κύριος; καὶ ἵνα δὲ ἡ μαρτυρία σου πιστὴ, σοφίζουσα νήπια; — Ἢ καὶ οὕτως· προκατηγγέλλετο γὰρ παρὰ τῶν προφητῶν, ὡς ταῦτα πείσονται ἁμαρτάνοντες. — Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε. Οἶκος Κυρίου, ψυχὴ καθαρὰ· ἐνοικήσω γὰρ, φησὶν, ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω.

Nonne in obviis rebus, tenuiter humilibus, mirabilis est Dominus? et ita ut testimonium tuum fidele sit, sapientiam præstans parvulis? — Vel etiam sic: prænuntiata quidem illa fuere a prophetis, ut suadeantur peccatores. *Domum tuam decet sanctitudo. Domine.* Domus Domini est anima pura: « Habitabo enim, ait, in illis et inambulabo. »

Psalmus XCIII.

v. 1. Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο. *Vat.* 685, 1.

Ὁ τῶν ἐκδικήσεων Θεὸς, κολάζων καὶ ἐκδικῶν τῷ δικαίως ταῦτα ποιεῖν παῤῥησιάζεται, ἐπιδεικνύμενος τῇ κτίσει τοὺς θαυμασίους παρὰ τούτων λόγους, καθ' οὓς τὰ τῶν ἐκδικήσεων ἐνεργεῖ.

v. 2. Ὑψώθητι, ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

Οὐ θαυμαστὸν, εἰ ὑψοῦται ἐπὶ τοὺς ὑπὲρ γῆν ὁ Κύριος, ἀλλ' ἐν τῷ κρίνειν τὴν γῆν, τῆς ὑψηλοτάτης αὐτοῦ φανερουμένης καὶ ἐπὶ τῷ κρίνεσθαι τοὺς ἐπὶ τῆς γῆς, φυλασσώμεθα ἀπὸ ὑπερηφανίας, εἰδότες ὅτι σφόδρα ὁ Θεὸς τοῖς ὑπερηφάνοις ἀντιτάσσεται, ὧν ἀρχηγός ἐστιν ὃς λέγεται διάβολος. Τῇ ἰσχύϊ ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν.

v. 3, 4. Ἕως πότε ἁμαρτωλοὶ, Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; φθέγξονται, καὶ λαλήσουσιν ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Τὸ οὖν ἕως πότε ἀπὸ κοινοῦ, ἵν' ᾖ τὸ ὅλον τοιοῦτον· ἕως πότε ἁμαρτωλοὶ, ἕως πότε λαλήσουσιν πάντες οἱ ἐργασάμενοι τὰς ἀνομίας; πολλὴ δὲ ἀναισθησία τῶν ἰδίων κακῶν τοῖς καυχωμένοις ἁμαρτωλοῖς, μάλιστα εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται

v. 1. *Deus ultionum Dominus, Deus ultionum libere egit.*

Deus ultionum, vindicans et ulciscens, in eo quod juste perficit, confidenter agit, ostendens abunde in creatione mirabiles hujus operis rationes, undenam vindictam exsequatur.

v. 2. *Exaltare, qui judicas terram, redde retributionem superbis.*

Haud mirandum, si Dominus supra terrigenas homines exaltetur; sed si judicando terram, et eos qui super terram sunt, expanditur virtus illius excelsissima, caveamus a superbia, scientes quam vehementer Deus superbis obsistat, quorum antesignanus est qui Diabolus dicitur. Per vim faciam, et per intellectus solertiam auferam fines gentium.

v. 3, 4. *Usquequo peccatores, Domine, usquequo peccatores gloriabuntur. Effabuntur et loquentur iniquitatem; loquentur omnes qui operantur injustitiam.*

Illud porro *usquequo?* ex vulgata editione est, ut sit totum in hunc modum: *Usquequo peccatores, usquequo loquentur omnes qui operantur iniquitates?* Multa sensus carentia laborant peccatores, propriis malis superbientes, tum maxime si

Ps. xciii. v. 1, 2. Vat. 4.

v. 3, 4. Vat. 4. Iterum vulgata vetus græca huc adducitur, nec displicet utrumque versiculum sumi ἐρωτηματικῶς, neque otiosa est clausula adversus Gnosticos in Creatorem blasphemos. Origenem ergo habemus, in veterana acie pugnantem, absque ullo respectu ad sequentis sæculi certamina.

ὑγιαινούσαις διδασκαλίαις, ταῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ τετύφλωται, μηδὲν ἐπιστάμενος, νοσῶν περιζητήσεις καὶ λογομαχίας· ἐκεῖνος οὖν ἐπὶ ταῖς ἰδίαις κατὰ ψευδοδοξίαν βλασφημίαις καὶ ἁμαρτίαις καυχᾶται, ὡς ἐπ' ἀληθείᾳ καὶ σοφίᾳ καὶ φθέγγεται, καὶ λαλεῖ ἀδικίας εἰς τὸ ὕψος, ἐν οἷς καταγορεῖ τοῦ δημιουργοῦ.

quis prava docet, neque incedit in sanis dogmatibus Domini nostri Jesu Christi. Sed occœcatur, nihil intelligens ægrotans in quæstionum circuitibus et verborum pugnis. Ille ergo insolescit in suis blasphemiis, ex falsa doctrina derivatis, et in peccatis, ut veritate et sapientia posthabitis, effutiat et loquatur injustitias usque ad cumulum, quibus fit Creatoris accusator.

v. 5. Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν.

Πρότερον ἐν ὑψηλοῖς ὄντα τὸν λαὸν ἐταπείνωσαν οἱ ἁμαρτωλοί, αἴτιοι αὐτῷ γενόμενοι τοῦ κατελθεῖν εἰς τὸ σῶμα τῆς ταπεινώσεως καὶ τὴν κληρονομίαν τοῦ Θεοῦ, ἵνα τῇ ἐναντίᾳ καταστάσει τῆς κακώσεως τυγχάνῃ κακῶσαι. — Κληρονομίαν εἴρηκεν φύσιν τὴν λογικήν, ἥτις πέφυκε κληρονομεῖν Θεόν, ἀντὶ δὲ τοῦ κληρονομοῦντος κληρονομίαν ὠνόμασεν· ἔθος γὰρ τοῦτο τῇ γραφῇ.

v. 5. *Populum tuum humiliaverunt, et hæreditatem tuam vexaverunt.*

Primo populum in excelsis elatum peccatores humiliaverunt, causam ipsi Domino præstantes cur descenderet in corpus humilitatis et in hæreditatem Domini, ut contrario afflictionis statu, ipse pro nobis male haberetur. *Hæreditatem* dixit naturam ratione auctam, quæ ad divinam hæreditatem capessendam nascitur. At pro hærede, *hæreditatem* nominavit: ea enim Scripturæ consuetudo est.

v. 6. Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσεν.

Χήραν ψυχὴν καὶ προσήλυτον νοῦν ἀποκτείνει ὁ κακῶς τὰς θείας γραφὰς ἐξηγούμενος· ὀρφανός ἐστι νοῦς ἐστηρουμένος τοῦ ἐπουρανίου πατρός· αὐτὴ τῆς ἀσεβείας ἐπίτασις· ταῦτα γάρ, φησί, τολμῶσιν, οὐχ ἡγούμενοι σὲ ἐφορᾶν, οὐδὲ προμηθεῖσθαι τῶν ἀνθρώπων πραγμάτων.

v. 6. *Viduam et pupillum interfecerunt, et advenam interfecerunt.*

Viduam animam et peregrinam mentem interficit qui corrupte sacras Scripturas interpretatur. Orphanus est spiritus cœlesti patre orbatus, quod est summum impietatis culmen. Talia, inquit, audent, non recogitantes sursum te respicere, aut rebus humanis providere.

v. 7. Καὶ εἶπαν· Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ.

Οὐχ ἁπλῶς δὲ πρόσκειται τό· Ὁ Θεὸς Ἰακώβ, ἀλλ' εἰς αὔξησιν τῆς κατηγορίας· πολλὴν γὰρ περὶ τὸν λαὸν τοῦ Θεοῦ καταμαθόντες πρόνοιαν, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῶν ἱερέων, τὴν ἐν πολέμῳ, τὴν ἐν εἰρήνῃ.

v. 7. *Et dixerunt: Non videbit Dominus, neque intelliget Deus Jacob.*

Haud frustra adjacet *Deus Jacob*, sed in incrementum accusationis, ut qui noverunt multiplicem erga populum Dei providentiam, tum per prophetas, tum per sacerdotes, tum in bello, tum in pace.

v. 8, 9. Σύνετε δή, ἄφρονες ἐν τῷ λαῷ,

v. 8. *Intelligite, insipientes in populo*

v. 6. Vat. 5, 12. Facile invehitur ipse tot criminibus impetitus, adversus perversos Scripturarum interpretes. Ita et in v. 20.

v. 7. Vat. 12.

v. 8, 9. Vat. 10. Quam psalmistæ erogat recte, ipse interpres laudem sane meretur διδασκαλίας συλλογιστικῆς.

καὶ μωροί, ποτὲ φρονήσατε. Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλάσας ὀφθαλμοὺς οὐ κατανοεῖ;

Πάλιν ἀπὸ τῆς πονηρίας τῶν ἐχθρῶν διεγείρει εἰς ζῆλον κατὰ τῶν ἀσεβῶν τὸν Θεόν, ὅπως ἂν ἔργῳ μάθοιεν, ὡς ὁ ἀπιστωθεὶς παρ' αὐτῶν οὐ περιορᾷ τὰ ἀνθρώπινα· ἀπόκρισιν δὲ ὁ προφήτης ἐπάγει πρέπον αὐτοῖς ὄνομα, τὴν ἀφροσύνην καὶ μωρίαν εἰπών. Λέγει δέ· πόθεν αὐτοῖς ἡ τοιαύτη ἀναισθησία, ὡς μήτε ὁρᾶν, μήτε ἀκούειν, μήτε μὲν ἐλέγχειν ὑπολαμβάνειν τὸν Θεόν, τὸν καὶ ὦτα, καὶ ὀφθαλμούς, καὶ σύνεσιν τοῖς ἀνθρώποις παρεσχηκότα; Ὁ γὰρ ἑτέροις ταῦτα δοὺς πρὸς τὸ ἀκούειν καὶ συνιέναι, οὐ συνιεῖ; ὀψὲ γοῦν, ὦ ἀνόητοι, συνιδεῖν ἐθελήσατε καὶ μαθεῖν τῶν πραγμάτων τὴν φύσιν. Σφόδρα συλλογιστικῶς τὴν διδασκαλίαν προσήνεγκεν.

Ὁ ἐκ πηλοῦ, φησίν, τὸν ὀφθαλμὸν διαπρίσας, καὶ τὴν ὀπτικὴν ἐνέργειαν αὐτῷ δωρησάμενος, καὶ τὰ ὦτα ὡσαύτως δημιουργήσας, καὶ ἀκουστικὴν αἴσθησιν χαρισάμενος, αὐτὸς οὐχ ὁρᾷ, οὐδὲ ἀκούει; ἀλλὰ τούτων δημιουργὸς ἐστέρηται, τῆς ἐνεργείας, ἣν τοῖς ἄλλοις κεχάρισται;

v. 10. Ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει, ὁ διδάσκων ἄνθρωπον γνῶσιν.

Τὰ ἔθνη, φησίν, ἃ μήτε νόμον ἐδέξατο, μήτε προφητικὰς ἀπέλαβε διδασκαλίας, ὑποβάλλει παιδείᾳ, καὶ τὴν ὑμετέραν οὐκ ἐλέγξει παρανομίαν; καὶ μὴν τῶν ἀνθρώπων τὴν φύσιν αὐτὸς ἐδημιούργησε λογικήν, καὶ διὰ τῶν ἐν τῇ κτίσει θεωρουμένων καθ' ἑκάστην γενομένων ἡμέραν πλείονα τὴν γνῶσιν ἐργάζεται.

v. 11-13. Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι. Μακάριος ὁ ἄνθρωπος ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου διδάξῃς αὐτόν, τὸν πραῦναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν.

Πῶς γὰρ οὐκ εἰσι ματαιότητος πλήρεις,

et stulti, aliquando sapite. Qui plantavit aurem, non audit? et qui finxit oculos, non considerat?

Iterum ex improbitate inimicorum excitat Deum ad zelandum adversus impios, ut re facta tandem discant, quomodo ille, in quem credere noluerunt, negotia non negligat humana. Quibus propheta congruum subjicit responsum, impingens illis insipientiam et stultitiam. Ait autem: Unde illis tanta sensuum orbitas, ut supponant Deum neque videre, neque audire, neque etiam redarguere, eum nempe qui aures, qui oculos, qui iutellectum unicuique largitus est? Etenim qui talia dat cæteris ad audiendum et intelligendum, nonne intelliget? Sero ergo, o insipientes, voluistis scrutari et penetrare rerum naturam. Egregia vi syllogistica doctrinam provexit.

Qui ex luto, ait, oculum affabre compegit, eique contulit aciem intuendi, et qui aures simili arte condidit, et impertivit audiendi facultatem, ille non cernit, ille non audit? Ergo creator sensuum horum efficacia destituitur, quam cæteris donavit.

v. 10. *Qui corripit gentes, non arguet, qui docet hominem scientiam?*

Gentes, ait, quæ non legem receperunt, nec prophetica adeptæ sunt documenta, suæ subjicit disciplinæ, ac vestram non arguet iniquitatem? Etenim ipse creavit rationabilem hominum naturam, et per ea quæ in creatione considerantur ac fiunt, per singulos dies abundantiorem scientiam impertitur.

v. 11-13. *Dominus scit cogitationes hominum, quoniam vanæ sunt. Beatus homo quem tu erudieris, Domine, et ex lege tua decueris eum, ut miliges ei a diebus malis.*

Quomodo enim non sunt vanitate op-

v. 10. Vat. 12. Optimum ex creaturis argumentum de providentia saepe et sane noster recolit.

v. 11-13. Vat. 12. Prov. III, 12.

αἱ αἰσθήσεις ἐκεῖναι, αἱ τῆς προνοίας τὸ ὠφέλιμον ἐξορίζειν ἐπιχείρουσιν τῷ λόγῳ; — Ὃν ἀγαπᾷ, Κύριος παιδεύει, φησὶν ὁ ἀπόστολος. Εἰ δὲ ὃν παιδεύει, μακαρίζει, πᾶς ὁ παιδευόμενος ὑπ' αὐτοῦ ἀπαθὴς γίνηται, τοῦτον γὰρ καὶ ἀγαπᾷ Κύριος· παιδεύειν γάρ ἐστι μετριοπάθεια παθῶν. Ἐκεῖνοι μὲν ἄθλιοι καὶ ταπεινοί, φησίν, οἱ τὴν σὴν μὴ δεχόμενοι παιδείαν· μακάριοι δὲ οὗτοι οἱ παρὰ σοῦ παιδευθέντες καὶ ἐκ τοῦ σοῦ διδαχθέντες νόμου· οὗτοι γὰρ καὶ ἐν ταῖς θλίψεσι πραϋθέντες, κουφισθήσονται τῶν ἀνιαρῶν.

v. 18. Τὸ ἔλεός σου, Κύριε, βοηθεῖ μοι.

Ἔλεος μὲν νοῦ γνῶσίς ἐστι· ἔλεος δὲ ψυχῆς, ἀπάθεια.

v. 19. Κύριε, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου, ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου ηὔφραναν τὴν ψυχήν μου.

Οὐκ ἀφῆκας, φησίν, ἀπαραμύθητον, ἀλλ' ὅσας θλίψεις εἶχον, τοσαύτας καὶ παραμυθίας ἐδεχόμην παρὰ σοῦ, αἳ καὶ εἰς εὐφροσύνην τὰς λύπας μετεσχίαζον.

v. 20-23. Μὴ συμπρόσεσταί σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ προστάγματι; Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα ἀθῷον καταδικάσονται. Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν, καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου. Καὶ ἀποδώσει αὐτοῖς τὴν ἀνομίαν αὐτῶν καὶ τὴν πονηρίαν αὐτῶν. Ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεὸς ἡμῶν.

Κόπον πλάσσει ἐπὶ τῶν προσταγμάτων τοῦ Θεοῦ, βουλόμενος ἡμᾶς παραβαίνειν τὰ προστάγματα αὐτοῦ, καὶ ἐνδελεχῶν ἡμῖν ἅμα καὶ παλαίων εἰς τὸ ἐξαπατῆσαι ἡ-

pleti hi sensuum magistri, qui providentiæ munificentiam sermone nituntur extorrem facere? — Quem diligit, Dominus corripit, inquit Apostolus. Quod si beatum declarat eum quem erudit, eruditus ab eo, fiat æquanimus; eumdem enim amat Dominus: nam corripere est æqua lance metiri passiones. Pergit: illi autem miserabiles abjectique sunt, qui tuam non recipiunt disciplinam; sed beati illi qui sunt a te correpti, tuamque legem edocti. Nam iidem in pressuris mitius se habentes, leviores ærumnis efficientur.

v. 18. *Misericordia tua, Domine, adjuvat me.*

Misericordia mentis est scientia; sed misericordia animæ passionum immunitas est.

v. 19. *Domine, secundum multitudinem dolorum meorum in corde meo consolationes tuæ lætificaverunt animam meam.*

Non repulisti, inquit, solatio destitutum; sed quantas ærumnas habebam, tanta accepi solatia a te, quæ in lætitiam mœsta mutaverunt.

v. 21-23. *Numquid adhærebit tibi sedes iniquitatis, fingens laborem in præcepto? Venabuntur in animam justi, et sanguinem innocentem condemnabunt. Et factus est mihi Dominus in refugium, et Deus meus in adjutorium spei meæ. Et reddet illis Dominus iniquitatem ipsorum et malitiam eorum. Disperdet illos Dominus Deus noster.*

Laborem fingit in præceptis Dei, qui vult ejus præcepta a nobis violari, scilicet Diabolus, qui perseverat simul et luctatur ad nos decipiendum. — *Sedem*

v. 19. Cod. Vat. B legit. ἠγάπησαν τὴν ψυχήν μου.

v. 20-23. Vat. 5, 12. Egregia passim illa verba sunt, quæ nil nisi martyrum voces, certamina, anathemata, et cantica ut in Apocalypsi referunt. Ea præ manibus habuit Didymus, neque omisit Maius, minus tamen integre quam Corderius; sed utrobique mutila nostra sunt et pro ævo pacis temperata. — Symmachi sententiam vix eruit Field. ex Syriaco.

μᾶς ὁ διάβολος. — Θρόνον δὲ ἀνομίας ὠνόμασεν τὸν διάβολον· ἐπειδὴ θρόνος δικαιοσύνης ὁ Χριστὸς, ὅστις ἀντίκειται τῷ διαβόλῳ· τοῦτο προσευχὴ τῶν ἁγίων ἐστὶ ψυχῶν τῶν ὑπὲρ τῆς Θεοῦ ὁμολογίας ἀγωνιζομένων, καὶ πρὸς αὐτὸν ἱκετήρια βοώντων· Μὴ ὑψούσθω θρόνος ἀνομιῶν ἐναντίον σου, Κύριε, κατὰ τοῦ σοῦ προστάγματος, κόπους ἡμῖν παρεχόμενος, ἢ τοῖς ἁγίοις μάρτυσιν οἱ ἀλάστορες καὶ τῶν εἰδώλων ὑπέρμαχοι. Διὰ τούτου, φησὶν, παρεκάλεσάς μου τὴν καρδίαν ἐν ταῖς θλίψεσιν, ὅτι δὴ οὖν οὐ προσθήσεταί σοι θρόνος ἀνομιῶν, τουτέστι δίκαιος εἶ κριτὴς, ὡς Θεὸς, καὶ οὐκ ἔστιν ἀνομία ἐν ταῖς σαῖς κρίσεσιν. Ὁ γὰρ θρόνος τὴν κρίσιν σημαίνει. Οὐκ ἔστιν οὖν, φησὶ, παρὰ τῇ σῇ κρίσει ἀνομία, ὥσπερ δὴ καὶ παρ' ἐκείνῳ. Ὁ κόπον πλάσσων ἐπὶ προστάγματι, οὗτος ἂν εἴη ὁ ἀντικείμενος δαίμων, ὃς καὶ ἐλαφρὰς οὔσας τὰς τοῦ Θεοῦ ἐντολὰς βαρείας ποιεῖ, κόπους δι' αὐτῶν τοῖς ἀνθρώποις παρέχων. Αἰτίαν πρὸς τὰς ὀδύνας εὐφροσύνην φησὶν, ὅτι μὴ πρόσεστι Θεῷ τῷ ἀγαθῷ καὶ δικαίῳ θρόνος ἀνομίας, διὸ καὶ τὸ πρόσταγμά σου καμάτων ἐστὶ ποιητικὸν διὰ τὰς μετὰ τοὺς κόπους ἀμοιβὰς τοῖς ἠγωνισμένοις καλῶς [ἡτοιμασμένας].

Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα κτλ. Οὗτοι, φησὶν, οἱ πονηροὶ δαίμονες ἐκ παντὸς τρόπου τὴν τοῦ δικαίου θηρεῦσαι ζητοῦσιν ψυχήν· ἀλλὰ ἐπὶ τούτῳ, φησὶν, κατακριθήσονται, τοῦτο γὰρ σημαίνει· Καὶ αἷμα ἀθῷον καταδικάζονται· λέγει γὰρ ὡς ἀντὶ τοῦ αἵματος τοῦ ἀθῴου ἐκχεομένου παρ' αὐτῶν εἰς κρίσιν, εἰς κόλασιν παραδοθήσονται. Ἐρεῖς δὲ καὶ ἄλλως μικρὸν ἄνωθεν, ὡς δημιουργὸς ἡμῶν ὑπάρχων καὶ κηδεμὼν, καὶ πᾶν ἀγαθὸν ἡμῖν ἐκ σοῦ νομίζομεν εἶναι, ἀλλ' ἐπεὶ φαύλους τινὰς ὁρῶμεν τοὺς ἀθῴους καταδικάζοντας, μὴ ἕτερος θρόνος ἀνομίας σύνεστίν σοι, δι' ὃν οἵ σοι παραινοῦνται θεράποντες; ἀλλ' οὐ πρόσεστί σοι ἀνομίας θρόνος· νόμον γὰρ τῶν ἁπάντων ἀνέδειξας βασι-

autem *iniquitatis* appellavit Diabolum, quando quidem Christus est thronus justitiæ, qui Diaboli adversarius est. Ea est deprecatio sanctarum animarum, quæ in confessione propter Deum decertant, supplicesque preces ad eum vociferantur: Ne exaltetur sedes iniquitatum in conspectu tuo, Domine, contra præceptum tuum. Hac sede labores nobis ingeruntur, vel sanctis martyribus non prævaleant execrandi dæmones, neque idolorum vindices. Idcirco, ait, consolatus es cor meum etiam in cruciatibus, quoniam certe non adhaerebit tibi sedes iniquitatum, tu nimirum es justus judex, utpote Deus, neque est injustitia in sententiis tuis. Sedes enim judicium significat. Ergo non est, inquit, in tuo tribunali legis defectus, sicut apud istum. *Qui fingit laborem in præcepto.* Iste possit esse dæmon oppositus, qui levia quum sint præcepta Dei, ea gravia fingit, dum ex illis fastidia hominibus creat. Causam ærumnarum, lætitiam asserit, eo quod nunquam Deo bono et justo adsit sedes iniquitatis; ideo etiam præceptum tuum est ærumnarum ferax, ob retributiones quæ post labores pulchre agonizantibus reservantur.

Captabunt in animum justi, etc. Iidem, inquit, improbi dæmones omni arte quærunt animam justi venari, sed in hoc, inquit, condemnabuntur. Idquippe significat: *Sanguinem innocentem condemnabunt.* Dicit enim eos pro effuso ab illis sanguine innocente in judicio, ad supplicium tradendos esse. — Dices alio modo paulo altius repetens: Tu quum creator noster sis et curator, a quo novimus esse quodcumque nobis bonum adest, quum vero improbos quosdam cernimus, qui innocentes condemnant, numquid alia sedes iniquitatis tibi adest, ex qua tui famuli vapulent? Verum enim vere non apponitur tibi sedes iniquitatis.

λέα, καθ' ὃν τὸ πᾶν διοικεῖται. Κἂν τοίνυν προσταγμάτων σῶν γεγονὼς ἀποστάτης ὁ διάβολος, ἄρχειν ἐπιχειρῇ, ἀλλ' οὐ σύνεστιν, οὐδὲ πρόσεστί σοι, μακρὰν δὲ σοῦ λῃσταρχῶν, τυραννεῖ κατὰ τῶν ὑπὸ τὴν ὠμότητα τὴν αὐτοῦ τελεῖν ἑλομένων. Θρόνος γὰρ ἀνομίας ἡμετέρας τυραννίδος ἀρχὴ, διόπερ ὢν ἐπαχθὴς, βαρύτατα προστάττει, συμπλάττων αὐτοῦ τοῖς προστάγμασι κόπον. Αἱ δὲ ἐντολαί σου τοῦ Θεοῦ βαρεῖαι οὐκ εἰσὶ, κατὰ τὸν Ἰωάννην, ἀλλὰ τὸν ἔχοντα μετέωρον εἰς ὕψος αἴρουσιν. Ἔργον γὰρ τοῖς παρανόμοις τουτοισὶ δικασταῖς πάσῃ μηχανῇ κατὰ τῶν δικαίων κεχρῆσθαι, καὶ τῶν ἀθώων καὶ ἀναιτίων καταψηφίζεσθαι θάνατον. Ἐγὼ δὲ τῆς παρὰ τοῦ δεσπότου προνοίας ἀπήλαυσα, καὶ αὐτὸν ἔχω περίβολον ὀχυρόν· ἐκεῖνοι δὲ τρυγήσουσι τοὺς τῶν ἰδίων πόνων καρπούς. Ταῦτα πᾶσιν ἀνθρώποις ἐγράφη· πάντων γὰρ προμηθούμενος ὁ Θεὸς, τὴν πάντων προφέρει θεραπείαν. — Σύμμαχος· Μὴ συναφθήτω σοι θρόνος ἐπηρείας, πλάσσων ταλαιπωρίαν κατὰ προστάγματος. Μὴ συμπαρέστω θρόνος ἀνομίας ὁ πλάσσων κόπον, ὀνόματι προστάγματος· μὴ μετέξῃ σου θρόνος ἐπιβουλῆς, πλάσσων κόπον ἐπὶ ἀκριβασμόν· μὴ συνισωθήτω σοι θρόνος ἀνομίας, πλάσσων κόπον ἐπὶ πρόσταγμα· οὐ γὰρ ἀρκοῦνται παιδεύειν ἐν ζημίᾳ καὶ μάστιγι, ἀλλὰ καὶ ψήφου θανάτου. — Ἀλλὰ ἀφανιεῖ αὐτοὺς Κύριος, ὁ Θεὸς ἡμῶν. Τῶν μὲν κακίαν γὰρ ἀφανίζει Κύριος, ὡς δικαιοσύνη· τῶν δὲ ἄγνοιαν, ὡς σοφία καὶ γνῶσις.

Legem enim omnium reginam fecisti, juxta quam hoc universum gubernatur. Et etiamsi interim factus præceptorum tuorum apostata, Diabolus imperare tentaverit, minime tibi adhæret, neque ad te accedit, sed procul a te latrocinia exercens, tyrannum agit adversus eos qui elegerunt sub illius ferocia subjacere. Thronus enim iniquitatis est principium hujus in nos tyrannidis, idcirco cum onerosus sit, durissima præcipit, addens fraudulentos suis mandatis labores. Tua autem præcepta, qui Deus es, gravia non sunt, teste Joanne, sed eum qui illa tenet, sublimem in excelsis attollunt. Labor enim est prævaricatoribus illis judicibus, ut quocumque artificio adversus justos utantur, et innocentium et insontium interitum decernant. Ego vero Domini providentia gavisus sum, eumque habeo validi instar muri in me circumvallantis, isti vero vindemiabunt suorum laborum fructus. Hæc pro omnibus hominibus scripta sunt: Deus enim, quum omnibus provideat, omnibus præbet medelam. — Symmachus habet: *Non conjungatur tibi thronus injuriæ, formans miseriam contra præceptum.* Non adhæreat sedes injuriæ, fingens laborem sub legis titulo. Non intercedat thronus insidiarum, fabrica laborum sub respectu severitatis. Non tibi associetur solium improbitatis, pro præcepto condens ærumnas, eis quippe haud satis est corripere in mulcta et flagello, sed etiam mortis cum sententia. — *Sed disperdet illos Dominus Deus noster.* Aliorum quidem malitiam Dominus disperdit, utpote justitia: aliorum vero ignorantiam, uti sapientia et scientia.

Psalmus XCIV.

v. 3, 4. Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πάντες τοὺς θεούς, ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστιν. *Vat.* 685, 2.

Ὁ βασιλεὺς τῶν βασιλευόντων ὄντως βασιλευόντων, βασιλεὺς μέγας ἐστὶν ἐπὶ πᾶσαν τὴν γῆν· βουληθείς τε καὶ πράγματι ἔδειξε τὴν κατὰ πάντων κυριότητα, καὶ ὅτι καὶ τὸν γῦρον κρατεῖ τῆς γῆς, καὶ τῶν ὑψηλῶν ἐστιν ὑψηλότερος, καὶ παντὸς στοιχείου δεσπότης ὤφθη, τρέπων καὶ μεταβαλών, ὡς βούλεται, τὰ πράγματα. — Ὁ ὑψηλὸς τὴν διάνοιαν τοῦ Θεοῦ ἐστιν ὁ ὑψηλὸς ἐν θεωρίᾳ, οὗτος τοῦ Κυρίου λέγεται εἶναι, ὡς μᾶλλον τῶν ἄλλων νοῶν περὶ Θεοῦ.

v. 3, 4. *Quoniam Deus magnus Dominus et rex magnus super omnes deos; quia in manu ejus sunt omnes fines terræ, et altitudines montium ipsius sunt.*

Rex utique regum vere regnantium rex magnus est super omnem terram. Statim ut voluit, facto ostendit suam super omnia dominationem; et quod etiam terræ globum tenet, et rebus excelsis excelsior est, et cujuscumque elementi possessor patuit, vertens ubi vult, et transferens ea quæ sunt. — Vir cogitatione Dei excelsus, ille est qui altus est in contemplatione, ille Domini esse dicitur, immo magis quam cæteri spiritus in circuitu Dei.

v. 6, 7. Δεῦτε, προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ ἡμεῖς λαὸς νομῆς καὶ πρόβατα χειρὸς αὐτοῦ.

Ἐγώ εἰμι, φησὶν ὁ Χριστός, ποιμὴν καλός. — Τῇ προσκυνήσει τὸν δέσποτα ὁμολογοῦντες, ἡμεῖς πάντες τοῦ Θεοῦ οἱ τηλυγετότερον προσιόντες ἐσμέν, λογικὸς μὲν λαὸς νομῆς, οὐ χειρὸς αὐτοῦ, ἀλλὰ αὐτοῦ· ἄλογοι δέ, πρόβατα οὐκ αὐτοῦ, ἀλλὰ χειρὸς αὐτοῦ. — Τὰ παρηγγειλμένα, φησὶν ἐπιτελευταῖον Χριστῷ, διά τε τὰ ἄλλα, καὶ διότι μέγας φύσει Θεὸς καὶ μέγας ἐστὶ βασιλεύς, ὅτε Μονογενὴς ὢν τοῦ Θεοῦ Λόγος· ἡδέως δὲ ἀντιδιατρίβει διηγούμενος τὸ μέγεθος καὶ τὴν ἐξουσίαν καὶ τὴν δύναμιν.

v. 6, 7. *Venite, adoremus et procidamus ante eum . . . nos autem populus ejus et oves manus ejus.*

Ego sum, Christus ait, pastor bonus. - Dum adoratione Dominum confitemur, Dei sumus nos omnes, qui inter remotius natos succedimus, populus quidem spiritualis, non tantum ad manum ejus pertinens, sed res ipsius; irrationales vero oves non ipsius sunt, sed manus ejus. — Hactenus hæc Christo dicta sunt, cum propter alia, tum etiam quod magnus natura Deus sit et magnus rex, utpote unigenitum Dei Verbum. Interea discurrens eleganter inducit discrimen inter magnitudinem et potentiam et virtutem.

v. 8. Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

Τὸ σήμερον τὸν βίον παρόντα σημαίνει. Ἰησοῦς γὰρ χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

v. 8. *Hodie si vocem ejus audieritis, nolite obdurare corda vestra.*

Hodie significat vitam præsentem. « Christus enim heri et hodie et ipse in sæcula. »

Ps. XCIV. v. 3, 4. Vat. 4.
v. 6, 7. Vat. 5, 14. Accedit in fine unus ex codd. florentinis.
v. 8. Vat. 16. Hebr. XIII, 8.

v. 10, 11. Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπα· ἀεὶ πλανῶνται τῇ καρδίᾳ, καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Τεσσαράκοντα, δυσηρεστήθην ἐν τῇ γενεᾷ ἐκείνῃ.... μάλιστα δὲ τὰ παιδία γενήσεται τὸν τεσσαράκοντα ἐτῶν χρόνον ἐν τῇ ἐρήμῳ διαγαγεῖν παρεσκεύασεν αὐτοὺς, ἕως αὐτοὶ μὲν κατηναλώθησαν, οἱ δὲ παῖδες ηὐξήθησαν. Προσώχθισα γὰρ, φησὶ, τῇ γενεᾷ ἐκείνῃ, τουτέστι δυσηρεστηθεὶς ἐβδελυξάμην, τὸ κοῦφον αὐτῶν καὶ εὐρίπιστον τῆς γνώμης ἰδὼν, ὅτι οὐκ ἔγνωσαν τὰς ὁδοὺς καὶ τὰς οἰκονομίας μου· οὐδὲ ταῖς ὀμωμοσμέναις ἀπειλαῖς προσέχειν ἐθέλησαν, οὐδὲ μεταμελήσαντες λῦσαι τὴν ἀπειλὴν ἠβουλήθησαν· οὗ δὴ χάριν τῆς ἐπηγγειλμένης τοῖς πατράσιν οὐκ ἀπέλαυσαν γῆς· ἣν κατάπαυσιν ὀνομάζει ὁ λόγος, ἐπειδὴ ἐν τῇ ἐρήμῳ μεταβάσεις ἐποιοῦντο συχνὰς τῆς σκηνῆς ἡγουμένης ἐν ᾗ κατοικεῖν ὁ Θεὸς ἐνομίζετο· ἐν δὲ τῇ γῇ τῆς ἐπαγγελίας καὶ αὐτοὶ τῆς ὁδοιπορίας ἐπαύσαντο, καὶ ἡ σκηνὴ τοῖς ἀφιερωθεῖσιν ἐνεπάγη χωρίοις. Αὐτὴ μὲν ἡ ἱστορία· ἴδωμεν δὲ τὸν ψαλμὸν καὶ πνευματικώτερον. — Ὁδοί εἰσι τοῦ Κυρίου αἱ πατρικαὶ ἀρεταὶ, αἱ ἐπάγουσαι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ μὴ ὁδεύων τὰς ὁδοὺς τοῦ Θεοῦ, οὐκ ἔγνω αὐτάς· ἀμήχανον γὰρ γνόντα μὴ ὁδεῦσαι, ἐπείπερ ἐπακτικόν τε καὶ ἀναγκαστικὸν ἔχει τὸ κάλλος αὐτῶν θεωρούμενον. Εἰ δὲ τοῦτο ἐπὶ τῶν ὁδῶν λεκτέον, τί φήσομεν περὶ τοῦ εἰπόντος· Ἐγώ εἰμι ἡ ὁδός; τί δὲ περὶ τοῦ Θεοῦ, ὃν οὐδεὶς γνοὺς ἁμαρτάνει ἔτι; ὅθεν ἐν Βασιλείαις ἐπὶ τῶν ἁμαρτανόντων λέγεται· Οὐκ ἔγνωσαν τὸν Κύριον.

v. 10, 11. *Quadraginta annis offensus fui a generatione ista. Et dixi: Semper hi errant corde, et ipsi non cognoverunt vias meas, quibus juravi in ira mea, si introibunt in requiem meam.*

Quadraginta annis exacerbatus fui a generatione ista... Ideo præsertim, dum nascerentur filii, per quadraginta annorum seriem, studuit eos deducere per desertum, donec ipsi internecione consumerentur, augerentur interim liberi. Offensus fui, inquit, a generatione ista, nimirum exacerbatus, contemptus fui, dum cernerem eorum levitatem, ac sententiam versipellem, *quoniam non cognoverunt vias meas,* neque arcano œconomiæ meæ; neque diris juramento vibratis attendere voluerunt, neque per pœnitentiam sategerunt minas solvere: propterea compotes non fuerunt promissæ patribus suis terræ, quam requiem lectio vocat, quoniam in deserto frequentabant translationes tabernaculi, in quo inhabitare Deus credebatur, et quoniam in terra promissionis ab itinere requieverunt. Ea vero historia est. Respiciamus ad mentem in psalmo sublimiorem. — Viæ Domini sunt paternæ virtutes quæ ducunt ad regnum cœlorum. Qui non ambulat vias Domini, non novit eas. Qui enim novit, non potest non eas terere. Stimulum enim necessariumque calcar habet, qui illarum pulchritudinem intuetur. Quod si de semitis dicere est, quid de eo dicemus aiente: « Ego sum via ? » Quid de Deo, quem nemo si noverit, peccat ? unde in libris Regum super peccatores scribitur: «Non cognoverunt Dominum. »

v. 10, 11. Incipit Vat. 5. Claudunt vero Vat. 5, 14; sed pergit idem Laurentianus hoc loco. Mihi autem certus Laurentiani numerus et fortasse nonnulla scholii verba in schedis meis exciderunt. Namque filum Romæ interruptum non nisi ægre Florentiæ retexere contigit. Parcat lector tesselato operi Alexandrino, ut catenæ ferunt. Cf. Joan. xiv, 6. 1 Reg. ii, 12.

Psalmus XCV.

v. 1. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. *Vat.* 687, 2.

Τοῖς ἀποστόλοις τὸ Πνεῦμα παρακελεύεται τὸ καινὸν ᾆσμα, τουτέστι τὴν νέον διαθήκην ἐξηγεῖσθαι τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔθνεσιν.

v. 9. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

Σαλεύεται ψυχὴ ἀπὸ γνώσεως Θεοῦ εἰς πολύθεον πλάνην ἐκπίπτουσα. — Ἐθεμελίωσε γὰρ ἐπὶ τὴν πέτραν τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύουσιν αὐτῆς.

v. 10, 11. Κρινεῖ λαοὺς ἐν εὐθύτητι. Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ· σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς.

Εὐφραινέσθωσαν οἱ οὐρανοί, τουτέστι οἱ κατοικοῦντες ἐν τοῖς οὐρανοῖς· ἐπὶ γὰρ τῇ κατορθώσει τῆς οἰκουμένης, αἱ οὐράνιαι δυνάμεις ἔλεγον· Δόξα ἐν ὑψίστοις Θεῷ. Θάλασσα ἐν τούτοις τῶν ἐθνῶν σημαίνει τὴν πληθύν, ἥτις καὶ ἐσαλεύετο, τουτέστι εἰς τὸ ὑποδέξασθαι τὸ κήρυγμα, σεσάλευται. Ὁ δὲ Θεοδοτίων καὶ ὁ Σύμμαχος οὕτως· Ἠχήσει ἡ θάλασσα συμπληρώματι αὐτῆς· ἅπας γὰρ τῶν ἀνθρώπων ὁ βίος ὁ τὴν θαλαττίαν μιμούμενος ζάλην, τῶν θείων κηρυγμάτων δέξεται τὴν ἠχήν· προλέγει δὲ καὶ τὰς γεγενημένας τῶν ἀπίστων ἐπαναστάσεις κατὰ τῶν κηρύκων τῆς ἀληθείας, ὡς καὶ ἐν ἑτέροις ψαλμοῖς ἀπεδείξαμεν.

v. 12. Χαρίσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς, τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ.

Χαρίσεσθαι δὲ τὰ πεδία λέγει τὸν ὁμαλὸν ἐν ἀρετῇ βίον· πεδία δὲ λέγει, ὧν καὶ Ἡσαΐας ἐν τοῖς ἰδίοις λόγοις ἄλλῳ μίμνηται τρόπῳ, ἀναπληροῦσθαι μὲν κελεύων τὰς φά-

v. 1. *Cantate Domino canticum novum.*

Apostolis præcipit Spiritus canticum novum, id est novum fœdus explicare omnibus per universam terram gentibus.

v. 9. *Commoveatur a facie ejus omnis terra.*

Commovetur anima, quæ a cognitione Dei excidit in plurimorum Deorum fallaciam. — Etenim fundavit super firmam petram Ecclesiam, «et portæ inferi non prævalebunt adversus eam.»

v. 10, 11. *Judicabit populos in correctione. Lætentur cœli, et exultet terra; commoveatur mare, et plenitudo ejus.*

Lætentur cœli, puta habitantes in cœlis: nam in correctione orbis cœlestes potestates dicebant: « Gloria in excelsis Deo. » *Mare* in hisce verbis significat multitudinem gentium, quæ quidem commovebatur, seu in excipienda prædicatione concussa fuit. At Theodotion et Symmachus sic interpretantur: *Resonabit mare in plenitudine ejus.* Universa enim hominum vita, quæ procellam maris imitatur, accipiet divinorum præconiorum sonitum. Prædicit autem quales acciderint infidelium tumultus adversus veritatis præcones, sicut in cæteris psalmis demonstravimus.

v. 12. *Gaudebunt campi, et omnia quæ in eis sunt, tum exultabunt omnia ligna sylvæ.*

Gaudere campos ait, seu vitam in virtute æquatam. Campos autem dicit, de quibus Isaias in suis canticis alio reminiscitur modo, jubens impleri valles, sub-

Ps. xcv. v. 1. Vat. 5, 16.
v. 9. Vat. 5, 12. Matth. xviii, 18.

v. 11. Vat. 12, 14, 16. Luc. ii, 14. Field. ii, 255.
v. 12. Iid. codd. Is. xl, 3.

ραγγας, καταστέλλειν δὲ τοῦ πονηροῦ τὰ ὄρη· ὅπερ οὐδ' ἕτερόν μοι δοκεῖ, ἢ τὰς ἐλλείψεις τε καὶ ὑπερπτώσεις τῶν κατ' ἀρετὴν ἐπιτηδευμάτων θεραπεύειν βουλόμενος, ταῦτα λέγει, ὡς μήτε δι' ἐλλείψεως τοῦ ἀγαθοῦ τὸν τῆς ἀρετῆς λόγον κοιλαίνεσθαι, μήτε ἀνωμαλεῖν διὰ τῆς ὑπερπτώσεως. Διὰ τῶν πεδίων καὶ μὴν διὰ τῶν ξύλων ἁγίας ψυχὰς σημαίνει· οἱ ἐπὶ τῇ τοῦ κόσμου σωτηρίᾳ ἠγαλλιάσαντο. Ποῖα ἠγαλλιάσθησαν ξύλα λεγέτωσαν οἱ τὴν ἀλληγορίαν παραιτούμενοι;

v. 13. Πρὸ προσώπου Κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν· κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

Οὐ τὴν γῆν κρινεῖ, ἀλλὰ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, ὁμωνύμως προσαγορευομένους τὴν γῆν. — Ἦλθε γὰρ καὶ ἐδικαίωσε τὴν κρίσιν ἡμῶν, καὶ τοὺς πονηροὺς τυράννους ἐξέβαλε, τοὺς ἀκαθάρτους δαίμονας.

vertere improbos montes, quod non aliud esse mihi videtur, quam si quis volens curare lapsus et casus, dum ad virtutem enititur, eadem verba pronuntiet; ac si nondum ob defectum boni exercendæ virtutis rationem expleverit, neque ob repetitos casus æquaverit. Sane per campos, immo etiam per ligna intelligit sanctas animas quæ ob mundi salutem exultaverunt. Quænam ligna exsultent, dicant hi qui allegoriam repudiant?

v. 13. *A facie Domini, quia venit, quoniam venit judicare terram; judicabit orbem terræ in æquitate, et populos in veritate sua.*

Non terram judicabit, sed habitantes super terram, quos terram eodem nomine appellat. — Venit enim et judicavit judicium nostrum, et pessimos ejecit tyrannos, impura dæmonia.

v. 13. Vat. 12, 14, 16.

Psalmus XCVI.

v. 1. Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσεται ἡ γῆ. Εὐφρανθήτωσαν νῆσοι πολλαί. *Vat.* 686, 2.

In psalmis proxime superioribus propheta pluribus suam hortatur animam ad benedicendum Dominum, ac sigillatim recensuit quædam in ea de se interiora; vel de se ipso tacens, in magnis viris Deum magnum celebravit: qualis erat anterior ille Isaac, in magnitudinem crescens, donec fieret ingens vehementer, vehementer. Item et Moyses, magnus præ omnibus mortalibus super terram. At minime censeo Davidem fuisse ex his pusillis, qui propter tenuitatem scandali periculum obeunt; propter quos reverentia correpti, absque præcepto, nil nisi bonum de illis sentiamus. Discamus ergo non temnere pusillos istos. — *Confessionem et decorem induisti.* Ac si dicat: Omnia opera tua gratiarum testimoniis et magnitudine cumulata sunt, omnibusque ostendisti magnificentiam, ut sæpe ex splendidis vestibus superbiunt homines coram spectatoribus: id quippe innuit verbum *induisti.* — Germanam edentes confessionem, prout cuique significat lex confitendi, teximus Domino Deo nostro laudem quam induit. Præter autem laudum munera, si cuncta quæ oportet fecerimus, alteram quoque decoris chlamidem Domino Deo subteximus. — Vel in hunc modum; Symmachus: *Hymnum et gloriam tibi accinxisti.* Quod non decet eos qui te ignorant, sed eos quibus donis his frui datum est; neque eos qui simulacris tuum honorem mactant, sed eos qui te hymnis colunt, tibique expandunt munus doxologiæ debitum. — Vel hoc modo: Intuentes providentiam tuam, te, o Domine, magnum dicimus, tuæ obstupentes providentiæ immanitatem; ita nostra laudum munera et decora, scilicet tuæ data gloriæ cantica, veluti paludamentum tibi circumcinge, tibi sane vindicans quod in

σασθαι μεγαλοπρέπειαν καὶ τὴν ἐξομολόγησιν φησίν.

v. 2. Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν.

Γινόμενοι δὲ φῶς, ὥστε λάμψαι τὰ ἔργα ἡμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἄλλο ἱμάτιον τῷ Κυρίῳ κατασκευάζομεν εἰς δόξαν αὐτοῦ, ὄντος ἡμῶν Πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς. — Ἐκτείνων τὸν οὐρανὸν ὡς δέῤῥιν. Τὴν τῆς δημιουργίας εὐκολίαν διὰ τούτων ἐδήλωσεν; ὡς γὰρ ἀνθρώπῳ ῥᾴδιον δέῤῥιν ἐκτεῖναι πρὸς τὸ ποιῆσαι σκηνὴν, οὕτως ὁ τῶν ὅλων Θεὸς τὰ μεγάλα τῶν οὐρανῶν διεπέτασε κύτη, λόγῳ μόνῳ χρησάμενος.

v. 5. Ἐθεμελίωσε τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς.

Ὁ δὲ Ἀκύλας καὶ ὁ Σύμμαχος· Ἐπὶ τῆς ἕδρας αὐτῆς.

v. 6. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ.

Εἰπὼν τὰ περὶ τῆς γῆς, μετέβη ἐπὶ τὸ

magnis præstantissimisque viris nobile est. Confessio autem illud est quod concentum omnium simul harmoniarum continet, sed ait induta fuisse magna decora et confessionis præconia.

v. 2. *Amictus lumine sicut vestimento, extendens cœlum sicut pellem.*

Facti autem nos lumen, ut luceant opera nostra coram hominibus, alteram Domino penulam comparamus in ejus gloriam, patris utique nostri, qui in cœlis est. — *Extendens cœlum sicut pellem.* Quibus verbis declaravit creationis modum expeditum: sicut enim homini in promptu est pellem extendere, tabernanaculi gratia erigendi, ita universorum Deus ingentes cœlorum fornices propalavit, unico sermone usus.

v. 5. *Stabilivit terram super firmitatem suam.*

Aquila autem et Symmachus: *Super sedem suam.*

v. 6. *Abyssus sicut vestimentum amictus ejus.*

Sermonem ad terram convertens, tran-

v. 3. Vat. 4. Ad scholii partem posteriorem accedit iterum cum levi varietate Apollinarius.

v. 5. Vat. 4. Laciniam a Theodoreto receptam, sed, opinor, misere truncatam, per me licet resarcias ex hoc loco Theodori in quo vix non audio Oregenem calcaria curiosis et junioribus alumnis addentem, audentemque inexpectata. Εἰπὼν τὰ ἐπουράνια καὶ ὑπερουράνια, ἤτοι τοὺς ἀγγέλους καὶ τὰ νέφη καὶ τοὺς ἀνέμους, μετέβη ἐπὶ τὴν γῆν. Μωσαϊκὴ δὲ ἡ τάξις. Βούλεται δὲ εἰπεῖν ὅτι κατασκευάσας οὕτως τὸν οὐρανὸν καὶ τὰ περὶ αὐτὸν, ἐ. εμελίωσε καὶ τὴν γῆν, οἰκείῳ θεμελίῳ στηρίξας αὐτὴν, ὡς ἀκίνητον εἶναι. Εἰ δέ τις λέγει· Πῶς οὖν κινεῖται ἐν τοῖς σεισμοῖς, ἴσθω ὡς παρὰ φύσιν. Ἴσον γάρ ἐστι τῷ Θεῷ καὶ κατὰ φύσιν θεμελιοῦν καὶ παρὰ φύσιν κινεῖν. Ἐπεὶ γὰρ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, [Ps. XCIV, 4] ὡς βούλεται, καὶ θεμελιοῖ καὶ κινεῖ, δι' ἑκατέρων τὸ ἀνυπέρβλητον τῆς ἰσχύος μηνύων. ἡ ἀσφάλεια δὲ αὐτῆς οὐκ ἔστιν οὐσία, ἀλλὰ τέχνη Θεοῦ, ἀκίνητον αὐτὴν ἐν τῇ σφαίρᾳ διαφυλάττουσα. Latina, ut pote longiuscula, desiderantem liceat ad Corderium remittere, t. II, p. 58. In quibus nihil occurrit de soliditate firmamenti, de fornice cœli pensiles aquas portantis, de quo, quasi de æthere physicorum loquens, Isaias egregie canit: Ἄρατε εἰς τὸν οὐρανον τοὺς ὀφθαλμοὺς ὑμῶν, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη. "Cœlum sicut fumus firmatum est." Sed quis magis perspicuus quam cæcus ille Didymus: Τὸν ἀνωτέρω ἡμῶν ἀέρα καὶ νεύοντα πρὸς Θεὸν αἰθέρα ὕδασι τοῖς κατὰ τὰς συστροφὰς τῶν νεφελῶν στεγάζει. "Aerem qui supra nos est et æthera ad Deum vergentem tegit aquis, convolventibus nubibus:" Ap. Maium. cf. Field. II, 259.

v. 6. Vat. 4. Ex Theodoreto eadem Hexapla recepit Field, II. l. l. Sed recole quæ in superiori tomo p. 384, dedimus in Job de Oceano, eumdemque nunc agnosce disertum doctumque interpretem, neque etiam poetica vena vacuum, quum pelagus immensum orbi circumfusum vult esse a Deo veluti in cujusdam gigantis sinu et pallio contentum et coarctatum. Etiam minora nota, uti nexum ab Origene inductum, more grammatici, inter ἄβυσσος et αὐτοῦ in v. 6, uti ὁμοιογενῆ.

ὕδωρ, ἑβραϊκῷ ἤθει ἀῤῥενικῶς εἰπὼν τὸ ἄβυσσος, διὸ ἐπήγαγε τὸ αὐτοῦ. Καὶ γὰρ Ἀκύλας καὶ Θεοδοτίων· Ἄβυσσον ὡσεὶ ἔνδυμα περιέβαλες αὐτὴν, ἤτοι τῇ ὑγρᾷ οὐσίᾳ τὴν γῆν περιέσχες· πανταχόθεν γὰρ ὕδασι περιέχεται. Τὴν γὰρ ὑγρὰν οὐσίαν ἄβυσσον ἐκάλεσε, ἥτις πάσῃ τῇ γῇ ὡς ἱμάτιον περικέχυται. Οἷον καὶ τὴν ἄβυσσον, φησὶν, οὕτως συνέχεις καὶ περιβάλλεις, ὡς εἴ τις περιβολαίῳ καὶ ἱματίῳ περιβάλοι τι πρᾶγμα καὶ συνέχοι αὐτὸ ἐν τῷ μέσῳ· διὰ ταύτην οὖν τὴν αἰτίαν ὡς συνεχομένη μὲν ὑψοῦται, ἀπλωθῆναι δὲ πέρα τῶν οἰκείων ὅρων οὐ δύναται. ἀλλ' ὅταν ὑψωθῇ, ὥσπερ ἐπιτίμησιν δεχομένη, δειλιᾷ καὶ συστέλλεται· μήποτε δὲ οἶδεν αὐτὴν ἀκίνητον καὶ ἐν τῷ κέντρῳ. Τοῦτο καὶ οἱ ἑξῆς στίχοι δηλοῦσιν.

siit ad æquor, moreque Hebraeorum abyssum dixit masculino genere, ideoque induxit voculam *ejus* (αὐτοῦ). Etenim Aquila et Theodotion: ***Abyssum sicut vestimentum amixisti eam:*** id est humido elemento terram circumdedisti; undecumque enim unda cingitur. Nam humidam substantiam abyssum nuncupavit, quæ universam terram, sicut pallium, circumfluit. Videlicet, etiam abyssum, inquit, ita contines et amplecteris, ac si quis paludamento aut tegumento rem aliquam contegeret et ambiret, idque in medio sinu. Eam igitur ob rem, quasi coarctata elevatur quidem, sed transgredi ultra proprios fines non valet; quando autem in sublime turget, recepta veluti increpatione, contremiscit, et coercetur, nec tamen cernere est pelagus immotum et in centro quiescens. Id quod sequentes versus depromunt.

v. 7, 8. Ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα, ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσωσιν. Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσιν πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτῷ.

Ὕδατα, ἀντὶ τοῦ· ὑψούμενα μὲν, ὄρη μιμοῦνται, καὶ ὡς ὄρος ἕστηκεν. Καὶ τί τὸ μετὰ ταῦτα; ἐπιτιμᾷς αὐτοῖς, βροντὰς ἐπάγων, καὶ τρόπον τινα δειλιῶντα εἰς τὴν οἰκείαν τάξιν ἀποκαθίσταται. Ὑψοῦται μὲν γὰρ τὰ κύματα ὡς ὄρη. Λείπει γὰρ τὸ ὡς, ἵν' ᾖ· Ἀναβαίνουσιν ὡς ὄρη τὰ ὕδατα ὑπὸ τῶν ἀνέμων ἐξοιδαινόμενα. Οὐ μὴν καὶ διαμένουσιν οὕτως, ἀλλὰ καταστορούμενα πάλιν πεδίοις, ὁμαλέσιν ἀφομοιοῦνται, καὶ ταῦτα, φησὶ, γίνεται ἐν τῷ τόπῳ ἐν ᾧ τὴν θάλασσαν περιγεγράφθαι προσέταξας. — Στήσονται ὕδα-

v. 7, 8. ***Super montes stabunt aquae, ab increpatione tua fugient, a voce tonitrui tui formidabunt; ascendunt montes, et descendunt campi, in locum quem fundasti ei.***

Aquæ, videlicet tumentes fluctus, montes imitantur, et sicut mons consistunt. Quid porro? Increpas eis, tonitrua vibrans, et more quodam tremefiunt, consuetumque in ordinem redintegrantur. Elevantur enim fluctus, quasi montes, ubi desideratur particula *quasi,* ut sententia sit: *ascendunt* [veluti] *montes* aquæ, ventorum turbine intumescentes. Verum non ita permanent, sed consternendæ iterum, æquatis campis assimilantur, idque fit, ait, in loco illo quo

v. 7, 8. Vat. 4. Haud trita est explanatio ex metaphora fluctuum et montium, digna quae sane horum versiculorum ab exegetis expendatur. Similia quædam in compendio transierunt in vulgatum Athanasium: "Abyssi aquæ instar montium sublimes insurgunt, et quasi minitantur submergere terram, sed nutu et potestate tua, quæ per tonitru significatur, recedunt." Breviter Theodoretus in eadem consentit.

τα, ἐπὶ τῶν ἐν ἀγνοίᾳ ὄντων στήσεται ἡ γνῶσις.

jussisti Oceanum fore circumscriptum. *Stabunt aquæ*: super eos qui in inscitia jacent, scientia stabit.

v. 10, 11. Ὁ ἀποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

v. 10, 11. *Qui emittis fontes in convallibus; inter medium montium pertransibunt aquæ. Potabunt omnes bestiæ agri, expectabunt onagri in siti sua.*

Καὶ τοῦτο τῆς σῆς προνοίας ἐστὶν ἔργον, τὸ μὴ μόνον διὰ τῆς περὶ χειμάῤῥους ὥρας ἐν ταῖς φάραγξι καὶ τοῖς θάλπουσι τόποις ὕδατα εἴδοσθαι, ἀλλὰ γὰρ καὶ ἀνὰ μέσον τῶν ὀρέων, ὅπως ἂν τῶν ἀγρίων ζώων τὰ ἥμερα διαδιδράσκονται, ἐν ὥρᾳ δ' ἀναπαύσονται. Κατὰ μέρος δοξολογῶν, ἐπέρχεται τῇ προνοίᾳ, καὶ τὴν μετὰ σοφίας τεθαύμακεν ἀγαθότητα, καὶ τῆς τῶν ἀλόγων ζώων πεφροντικότος διαμονῆς τοῦ Θεοῦ. Ποιήσας γὰρ αὐτὰ καὶ τρέφει τε καὶ ποτίζει. Διὸ τὰ ὄρη τεμὼν παρόδους τοῖς ὕδασιν ἐτεχτήνατο πρὸς ὠφέλειαν ἀνθρώπων τε καὶ κτηνῶν καὶ ὀρνέων. Ὁ δὲ Σύμμαχος ἐξέδωκεν· Ἀνακτήσεται ὄναγρος δίψαν αὐτοῦ. — Περὶ δὲ τῆς μέχρι τούτων προνοίας, ἔλεγεν ὁ σωτήρ· Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Οὕτω καὶ τῶν ἀλόγων ζώων καὶ ἑρπετῶν καὶ θηρίων προνοεῖ, ὡς καὶ τούτοις τὸ πρὸς ζωὴν χρήσιμον ἐπιχορηγεῖν. Ποτίζει γὰρ ὄρη καὶ πεδία, οὐκ ἀπὸ τῶν ἐν ταῖς φάραγξι πηγῶν, ἢ τῶν φερομένων κατὰ γῆς ποταμῶν, ἀλλ' ἄνωθεν τοὺς αὐτάρκεις ἐπιχορηγῶν ὑετούς. — Λογικάς τινας διὰ τῶν λογικῶν τούτων αἰνίττεται φύσεις. — Ὁ διδοὺς γνῶσιν τοῖς κενωθεῖσιν ὑπὸ τῆς ἀγνοίας, δίκην φαράγγων κοιλανθεῖσιν ὑπὸ τῆς κακίας.

Et hoc est tuæ providentiæ opus, ut nec solum torrentis in tempore lymphas de deris in convallibus tepidisque locis, sed et inter medios montes, unde a sylvestribus bestiis mansueta animalia aufugiant et ad tempus requiescant. — Dum seriatim laudis hymnum dec urrit, perseguitur providentiæ opera, et miratus bonitatem sapientia auctam, ac Dei perseverantiam in brutis animalibus curandis. Ea quippe cum creaverit, eadem nutrit et potat. Idcirco montibus intersectis, transitum fabricavit aquarum, ad hominum simul et animalium et avium commodum. At Symmachus edidit: *Dominabitur onager sitim suam.* — Porro de hac providentia hactenus exposita, Salvator dixit: « Considerate volucres cœli, non serunt, neque metunt, neque colligunt in horrea, et pater vester cœlestis nutrit eos. » Ita ut stupidorum animalium et reptilium et ferarum procurator est, ut iisdem utilem vitæ annonam concilii et. Potat enim montes et campos, non solum per fontes in convallibus aut per flumina quæ per terram permeant, sed desuper l argitur sufficientem imbrium opportunitatem. — Spirituales quasdam naturas in hisce verbis spiritualiter acc eptis designat. — Est qui dat scientiam his qui per inscitiam vacui sunt, per malitiam curvati uti convalles.

v. 12. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει.

v. 12. *Super ea volucres cœli habitabunt.*

v. 10, 11. Vat. 5, 12, 14. Iterum pauca apud Athanasium cf. Field. u. l. l. Matth. vi, 28.

v. 12, Vat. 5.

Κατασκηνοῖ ἐπ᾽ αὐτοὺς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἐπειδὴ ἔσχον πίστιν, ὡς κόκκον σινάπεως.

v. 13. Ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Καρπὸς τῶν ἔργων ἐστιν ἡ θεωρία τῶν γεγονότων.

v. 14. Ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς.

Ὥσπερ τῶν ὑδάτων δέδωκεν τὴν χορηγίαν, οὕτω καὶ ἀπὸ γῆς τρέφεσθαι παρεσκεύασεν· διὰ τοῦτο ἐφρόντισας τῶν κτηνῶν, ἵνα δι᾽ αὐτῶν γεωργοῦντες τὰ πρὸς ζωὴν εὕρωμεν. Τάχα ἡ λέξις χόρτος καὶ οὗτος μὲν ἄρτος γῆς. Ἔστι δέ τις ἄρτος οὐρανοῦ περὶ οὗ εἴρηται· Ἄρτον οὐρανοῦ δέδωκεν αὐτοῖς. — Χόρτος· ὁ γὰρ ἀσθενὴς λάχανα ἐσθίει.

v. 16, 17. Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδίου ἡ οἰκία ἡγεῖται αὐτῶν.

Δείκνυσιν καὶ τὰ ἐν δρυμῷ αὔξοντα ξύλα, οἷον κέδροι, καὶ τὰ ἕτερα τοῖς αὐτοῦ νεύμασιν αὐξήθησονται. Γέγονε δὲ ταῦτα καὶ δι᾽ ἕτερα μὲν πλεῖστα, ὧν καὶ τὴν πεῖραν ἔχομεν καὶ τῶν στρουθίων εἰς καλιάς. — Ὥσπερ ἔστι τινὰ ξύλα τοῦ παραδείσου, οὕτω καὶ ξύλα τοῦ πεδίου.

v. 18. Ὄρη τὰ ὑψηλὰ τοῖς ἐλάφοις· πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις.

Εἴ τις, φησίν, ἔροιτο· Διὰ τί ὄρη; διὰ τί πέτραι; μανθανέτω ὅτι ταῦτα ἀναγκαίως ἐδημιουργήθη. Εἰ γὰρ δι᾽ ὅλου ἥπλωτο πεδίας ἡ γῆ, μὴ ἔχουσα ὄρη, οὐκ ἂν τὰ ποικίλα συνέστη τῶν ζώων γένη, θᾶττον τῶν ἰσχυροτέρων τοῖς ἀσθενεστέροις ἐπιπηδώντων. Νῦν δὲ ἡ τῶν ὀρέων σύστασις καταφυγὴ γέγονε, τοῦ μὴ ἀσθενέστερα ὑπὸ τῶν ἰσχυροτέρων ἁλίσκεσθαι, καὶ μάλιστα κατὰ τὸν τοῦ

Super eos volucres cœli habita modo habuerint fidem, ut gran pis.

v. 13. *De fructu operum tuor bitur terra.*

Fructus bonorum operum est platio creaturarum.

v. 14. *Qui producit fenum jun herbam servituti hominum, ut ed nem de terra.*

Quemadmodum subsidia aquar stitit, ita et curavit cibum e te cendum. Idcirco consuluisti jum per ea colentes agros, alimoniam veniamus. — Quin et vox fenu esto ac panis de terra. Est aute de cœlo, de quo dictum: « Pan dedit eis. » — *Fenum.* Etenim bilis est, olus manducet. »

v. 16, 17. *Saturabuntur ligna cedri Libani, quas plantavit. Ill rem nidificabunt, herodii domus eorum:*

Declarat etiam quæ in sylva arbores, quales sunt cedri et al haud sine ejus nutibus auctum raque ita succedunt, uti etiam mur in passerum cura nidos æd — Sicut sunt ligna paradisi, s que ligna campi.

v. 18. *Montes excelsi cervis; fugium herinaciis.*

Quod si quis, ait, interrogave sum montes? ad quid saxa pros scat eadem fuisse haud sine ne creata. Si enim ex integro terra pis æquaretur, sublatis monti non constarent varia animalium validioribus imbecilliora invad Nunc vero montium sinus deb refugio sunt, ne a fortioribus

v. 13. Vat. 5.
v. 14. Vat. 4, 14. Ps. LXXVII, 26. Rom. XIV. 2.
v. 16, 17. Vat. 14. Cf. etiam Athan.

v. 18. Vat. 4, 14. Cf. Luc. X, 19. I dentur manca, nisi f. legas ἀκούουσιν.

ὕπνου καιρόν· ἀλλὰ καὶ λαγωοῖς ἢ χοιρογρυλλίοις (ἀμφότερα γὰρ φέρεται ἐν τῇ αναγνώσει) τίς ἦν ἄλλη καταφυγή, εἰ μὴ πέτραι καὶ σπήλαια ὡς χηραμοὶ συνέστησαν, εἰς ἃς διαδιδράσκοντα σώζεται, καθάπερ ἄνθρωποι πρὸς οἰκίας καὶ τείχη. — Ὁ ἔλαφος, ὄφει πολέμιος· τοιοῦτοι καὶ οἱ τοῦ Χριστοῦ μαθηταί, ἑτοίμως ἔχοντες ἐκδικεῖν πᾶσιν παρακοήν, οἱ καὶ πατεῖν ἐπάνω ὄφεων ἥκουσιν.

v. 19-21. Ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ, σκύμνοι ὠρυόμενοι ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς.

Ἀνατρέχει πάλιν ἐπὶ τὴν ἐν τοῖς οὐρανοῖς πρόνοιαν· δι' οὗ δὲ ἑτέρου γεγενῆσθαι τὴν σελήνην φησίν, ἢ πρὸς ἀριθμὸν καὶ διάγνωσιν μηνῶν τε καὶ ἡμερῶν; Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ, θείῳ καὶ αὐτὸς προστάγματι δηλονότι πειθόμενος· οὐχ ὡς ἔμψυχος δὲ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ, κατὰ δὲ τὸν θεῖον ὅρον ὁδεύων. Ἀπ' ἀμφοτέρων μὲν ἀμφότερα εὑρίσκεται, καιρούς τε γὰρ ὁ ἥλιος ποιεῖ, καὶ δύσει καὶ ἀνατολῇ ὁμοίως κέχρηνται, ἀλλὰ διεῖλεν αὐτὰ κατ' ἴδιον οἴκημα· καιροὺς δὲ καλεῖ τὰ μέτρα ἡμερῶν καὶ μηνῶν, τὰς γὰρ τῆς σελήνης ἀλλοιώσεις μετρεῖσθαι τὸν χρόνον παρεσκεύαζε· ἀλλὰ καὶ ὁ ἥλιος φωτίζειν μόνον μαθών, ὅτε προσετάχθη, πρὸς δύσιν χωρεῖ· ἔδει γὰρ καὶ νυκτὸς εἰς ἀναχώρησιν μὲν τῶν ἡμέρων ζώων· εἰς πρόοδον δὲ τῶν ἀγρίων τὰς τοῦ ἡλίου κατὰ θείαν πρόνοιαν ἀποστέλλεσθαι αὐγάς, ἢ γὰρ ἂν καὶ αὐτοῖς ἐπετίθετο· διὸ τὸ χρήσιμον τῆς νυκτὸς ὑπογράφων φησίν· Ἡλίου δὲ ἀντίσχοντος, τὰ μεν [θηρία] εἰς τὰς οἰκείας καταδύσεις χωρεῖ· οἱ δὲ ἄνθρωποι τὸν τῆς προτέρας ἡμέρας πόνον ἀποθέμενοι, προθύμως πάλιν ἔτι τοῖς ἔργοις διημερεύουσι. — Οὐδὲ τὸ ζητῆσαι δὲ τροφήν, κυρίως

nentur, et præsertim in somni tempore. Etenim herinaciis et chærogryllis (utrumque enim lectio profert), quodnam erat perfugium, nisi saxa et speluncæ, uti latibula constitissent, quo confugientes serventur, sicut homines in domiciliis et intra muros? — Cervus, serpenti infensus: tales quoque Christi discipuli, in promptu habentes adversus omnes arcere pravam doctrinam, qui incedunt ad calcandos serpentes.

v. 19-21. *Fecit lunam in tempora, sol cognovit occasum suum. Posuisti tenebras, et facta est nox. In ipsa pertransibunt omnes bestiæ sylvæ. Catuli leonum rugientes, ut rapiant et quærant a Deo escam sibi.*

Iterum decurrit ad providentiam in cœlestibus: ad quid autem aliud, ait, facta luna fuit, nisi ad numerum et discrimen mensium et dierum? *Sol cognovit occasum suum,* obtemperans nimirum et ipse legi divinæ, haud quidem ut mente præditus, sol agnovit occasum suum, sed iter pergens divino termino statutum. In utrisque sane utraque reperiuntur. Sol enim tempora creat, et ambo sidera Occidente et Oriente utuntur, sed loca sibi propria situ suo dividunt. Tempora autem vocat mensuras dierum et mensium. Metienda enim curavit tempora ex lunæ mutationibus. Sol vero, tantum illuminare edoctus, urgente præcepto, recedit ad occidua. Necesse enim erat per noctem missos fieri solis radios, ex provido Dei numine, ut tuto recedant sicura animalia, exeant vero sylvestria, quod etiam ipsis reservatum est: unde in quo non proficua foret, subscribens ait: orto sole, feræ in proprios recessus se recipiunt; homines vero, labore præcedentis diei deposito, alacriter se rursus ad opera diurna accingunt. — Quod di-

v, 19-21, Vat. 4.

κεῖται· λογικῶν γὰρ ἡ ζήτησις· δηλοῖ δὲ καὶ τούτοις τὸν Θεὸν τὴν ἀναγκαίαν παρέχειν τροφήν.

citur escam quæri, non stricto jure stat; inquis itio enim pertinet ad ratione instructos, palam est jam illis a Deo necessariam parari alimoniam.

v. 25. Αὐτὴ ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχορος.

Τὸν βίον τοῦτον σημαίνει.

v. 25. *Hocce ma re magnum et spatiosum.*

Quod hanc ipsam vitam designat.

v. 29. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν ἐπιστρέψουσιν.

Οἱ ἐκπίπτοντες δὲ τοῦ παρὰ τοῦ Θεοῦ δοθέντος αὐτοῖς πνεύματος, γίνονται χοϊκοί.

v. 29. *Auferes spiritum eorum, et deficient, et in pulverem suum revertentur.*

Qui a spiritu quem illis Deus dedit, decidunt, fiunt terreni.

v. 30. Ἐξαποστέλλεις τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἣν Παῦλος ἔκστασιν εἴρηκεν, ταύτην Δαυὶδ ἀνακαινισμὸν προσηγόρευσεν.

v. 30. *Emittes spiritum tuum, et creabuntur, et renovabis faciem terræ.*

Quod Paulus vocavit instaurationem, renovationem David appellat.

v. 25. Vat. 5.
v. 29. Vat. 14.
v. 30. Vat. 14. cf. Eph. 1, 10.

Psalmus CIV.

v. 5. Μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ὧν ἐποίησε, τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ. *Vat.* 692, 2.

Ὅτε ἐποίει ἐργασίας ἐν ὕδασι πολλοῖς, ἐθεώρουν τὰ ἔργα τοῦ Κυρίου· τούτων, ἔφη, μνήσθητε καὶ πάλιν ποιεῖτε ἐργασίαν ἐν ὕδασι πολλοῖς. — Τὰ τέρατα λέγει, ὧν πεποίηται ἐν τῇ παρουσίᾳ θεοσημείων.

v. 5. *Mementote mirabilium ejus quæ fecit, prodigia ejus et judicia oris ejus.*

Dei quum fierent facinora in aquis multis, intuebantur opera Domini. Quorum mementote, inquit, ac vos met facite opera in aquis multis. — Prodigia dicit ea quæ facta sunt, quum adfuit ipse, divina signa manifestans.

v. 12. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ.

Τὸ βραχεῖς ἐπὶ ὀλίγων εἶπε· τὸ δὲ βραχὺ ἐπὶ μεγέθους, τὸ δὲ ὀλίγον ἐπὶ ἀριθμοῦ τέτακται. — Πάροικοί εἰσιν οἱ μηδὲν ἴδιον τῶν τοῦ κόσμου τούτου νομίζοντες.

v. 12. *Quum essent numero breves, paucissimi et in terra advenæ.*

Breves dicit pro *pauci*. Nam brevitas est de proceritate, paucitas de numero struitur. *Advenæ* sunt hi qui rem hujus mundi nullam suam autumant.

v. 13. Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος.

Τὰ κατὰ τὴν ἀποδημίαν διηγεῖται τοῦ Ἀβραὰμ, καὶ τοὺς σκυλμοὺς τοῦ Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακώβ· παροικοῦντες γὰρ οἱ πα-

v. 13. *Et pertransierunt de gente in gentem.*

Enarrantur itinera Abrahæ, et quæ spectant ad asperos labores Abrahæ, Isaac et Jacob: peregrini enim perpetuo e-

Ps. CIV, v. 5. Vat. 4, 16.
v. 12, Vat. 54. Laciniam unam corrosit Heracleota, alteram Didymus apud Maium.
v. 13. Vat. 4.

τριάρχαι διετέλουν, καὶ οὐδὲ ἐφ' ἑνὸς ἱδρυμένοι τόπου, ἀλλὰ νῦν μὲν ὧδε, ἐκεῖ δὲ ἄλλοτε τὰς σκηνὰς μεταφέροντες. Ἢ ὅτι πολλὰ ἔθνη μετῆλθον, μέχρις ὅτε τῆς ἐπαγγελθείσης αὐτῆς γῆς τὸν κλῆρον παρέλαβον· Ἢ ἀπολογίαν δοκεῖ ἔχειν τὴν ἐν τοῖς προκειμένοις διδασκαλίαν, τοῦ μὴ ἀκρίτως ἀποδοκίμασθαι τὸν ἐκ περιτομῆς λαόν· εὐλογεῖ δὲ ταῦτα πεπονθέναι, ὅτι μυρίων καταξιωθέντων πρὸς τοῦ Θεοῦ εὐεργεσιῶν αὐτοὶ ἑαυτοὺς ἐναντίους κατέστησαν καὶ ἐχθροὺς τῆς τοῦ Θεοῦ προαιρέσεως.

v. 16. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν.

Τὸ δοκοῦν κακὸν, ὁ ἐν Αἰγύπτῳ λιμὸς, ἀρχὴ γέγονε τῶν ἐν Ἑβραίοις οἰκονομιῶν ἀγαθῶν. Οὕτως καὶ πᾶν τὸ δοκοῦν κακὸν, ἀλλὰ καὶ τὸ ἀληθῶς κακὸν, διὰ τὸ ὕστερον ἀγαθὸν γίνεται· κακὸν γὰρ, ὁ κατὰ τοῦ Ἰωσὴφ ζῆλος τῶν ἀδελφῶν, καὶ ἡ ἐπιθυμία τῆς δῆθεν δεσποίνης τοῦ Ἰωσήφ. — Πᾶν στήριγμα κτλ. ἀντὶ τοῦ πᾶν διαθρέψαι δυνάμενον, σπανίσαι πεποίηκεν, οὐ μόνον σῖτον, ἀλλὰ καὶ ὄσπρια, καὶ τ' ἄλλα, δι' ὧν βιοτεύουσιν ἄνθρωποι.

v. 19. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον τοῦ Κυρίου, τὸ λόγιον του Κυρίου ἐπύρωσεν αὐτόν.

Πολλοὺς πειρασμοὺς ἐπάγει τοῖς ἁγίοις ὁ διάβολος, μέχρι τοῦ ἐλθεῖν τὸν λόγον τοῦ Θεοῦ τὸν πυροῦντα καὶ καθαρίζοντα τὰς καρδίας αὐτῶν. — Δύο πυρώσεις εἰσὶ γενικαί· ἡ μὲν ἀστεία, ὅτε τὸ λόγιον Κυρίου πυροῖ τινα, ἵνα τῆς σοφίας ἐρασθεὶς καὶ παντὸς καλοῦ πυρωθεὶς, ἐπ' αὐτῷ γένηται πῦρ Κυρίου. Ἡ δὲ φαυλὴ, ὅτε τις τέτρωται ὑπὸ τῶν πεπυρωμένων βελῶν τοῦ πονηροῦ, ἵνα σωματικῶν ἐπιθυμῇ· ἐπεὶ τοίνυν καὶ τὸν

rant patriarchæ, neque in ullo loco consistentes, nunc vero huc, nunc autem illuc tabernacula transferebant. Vel quod per multas gentes transierunt, usque dum promissæ illius terræ hæreditatem capesserent; vel apologiam instituere videtur propositæ supra doctrinæ, haud sine judicio reprobatum fuisse populum circumcisum. Bene autem dicit talia eos pertulisse, quod cumulati a Deo sexcentis beneficiis, ipsi se statuerunt divinæ voluntati coutrarios et inimicos.

v. 16, *Et vocavit famem super terram, omne firmamentum panis contrivit.*

Quæ malum quid visa est, fames in Ægypto, exordium fuit optimorum erga Hebræos consiliorum. Immo quodcumque censetur malum, etiamsi vere malum sit, in bonum porro vertitur: etenim mala erat invidia fratrum adversus Josephum; mala quoque postmodum libido dominæ ejusdem Josephi. — *Omne firmamentum* etc. Videlicet, quidquid enutrire poterat, rarescere fecit, non frumentum modo, sed et olera et cæteram hominum alimoniam.

v. 19. *Donec veniret verbum ejus, eloquium Domini inflammavit eum.*

Multas tentationes in sanctos invehit Diabolus, donec venerit sermo Dei, qui comburat et repurget corda eorum. — Duæ sunt generatim adustiones, una quidem rite composita, quando Domini oraculum aliquem ita conflagrat, ut sapientiæ et cujusque boni percitus amore incanduerit, in eumque ceciderit ignis Domini. Alia vero nefaria, quando quis vulneratur inflammatis maligni telis, ut

Pseudo-Hieronymus, v. 16. Sæpius evenit, ut quæ putantur contraria esse, hæc providentia Dei pro utilitate fiat. Nisi enim fratres Joseph zelati fuissent eum, et non vendidissent eum, quomodo descenderet in Ægyptum etc.

v. 16. Vat. 4.

v. 19. Vat. 4.

Ἰωσὴφ τὸ λόγιον Κυρίου ἐπύρωσεν, οὐκ ἠδυνήθη αὐτὸν ὁ πονηρὸς ἐπὶ τῇ δεσποίνῃ πυρῶσαι.

v. 20. Ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτον, ἄρχων λαῶν καὶ ἀφῆκεν αὐτόν...

Οὐχ ἄλλος ὁ βασιλεὺς, καὶ ἄλλος ὁ ἄρχων· ἀλλ' ἀναδιπλώσει χρῆται γραφικῷ ἔθει, ὡς τό· πορευόμενοι ἐπορεύοντο· τὸν Φαραὼ δὲ λέγει ἐπὶ τὴν τῶν ὀνειράτων ἀπορίαν, ὅτε καὶ λύεται, καὶ καθίσταται ὁ κύριος· τὴν δὲ ἀπὸ τῆς οἰκονομίας αὐτοῦ δεικνὺς ὠφέλειαν, ἐπάγει·

v. 22. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

Ἐπίσημος γὰρ διὰ τῆς ἐπίλυσιν τῶν ὀνειράτων γενόμενος εἰς σύνεσιν, ἐπαιδοτρίβει τοὺς ἐγχειρισθέντας τοῦ ζηλῶσαι αὐτόν· αὕτη, φησὴν, ἡ αἰτία τοῦ εἰσελθεῖν Ἰσραὴλ εἰς Αἴγυπτον, κἀνταῦθα δὲ ἀναδιπλώσει χρῆται.

v. 23. Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, παὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.

Χὰμ δὲ τὴν Αἴγυπτον λέγει· Χὰμ γὰρ ἐγέννησε τὸν Χαναὰν, ὁ δὲ Μεστραῒμ, ὃς ἑρμηνεύεται Αἴγυπτος· εἰκὸς γὰρ πάππον ὄντα τοῦ Μεστραῒμ τὸν Χὰμ, ἐν Αἰγύπτῳ οἰκῆσαι, τοῦ Χαναὰν ἐν Παλαιστίνῃ οἰκήσαντος. Κατελθόντων δὲ οὐκ ἠμέλησε, φησὶν, ἀλλὰ κἀκεῖ αὐτοὺς ηὔξησε, καὶ τῆς οἰκείας εὐλογίας μετέδωκε. — Εἴ τίς ἐστιν ὡς ἀληθῆς Ἰακὼβ, οὐ κατοικεῖ ἐν γῇ Χὰμ ἐκεῖνος, ἀλλ' ἐν αὐτῇ παροικεῖ.

v. 24. Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.

Ὥστε λέγειν τὸν Φαραὼ, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ· ἰδοὺ πολυπληθεῖ νῦν τὸ ἔθνος, καὶ ἰσχύει ὑπὲρ ἡμᾶς, οὐκ ἂν δὲ αὐξηθέντες ἐ-

v. 20. Vat. 4. Huc iterum et in proxime sequentia incidit Heracleota.

carnea concupiscat. Interim statim ut Josephum quoque Domini eloquium succensisset, frustra fuit malignus eum adducere ut dominam arderet.

v. 20. *Misit rex, et solvit eum; princeps populi, et dimisit eum.*

Non alius est rex, neque alius princeps, sed geminatione reciproca utitur, more Scripturæ, juxta illud: « Euntes ibant. » Intelligit autem Pharaonem, ob somniorum ambiguitatem, quando nimirum Joseph solvitur et dominus constituitur. Cæterum dispensationis hujus utilitatem ostendens, subdit:

v. 22. *Ut erudiret principes, sicut seipsum, et seniores ejus prudentiam doceret.*

Cum enim ob somniorum solutiones insignis in intellectu fieret, instruebat eos qui ipsum æmulari eonati sunt. Illa, inquit, causa fuit ingressus Israelis in Ægyptum. Hic vero etiam utitur geminatione.

v. 23. *Et intravit Israel in Ægyptum, et Jacob accola fuit in terra Cham.*

Cham enim Ægyptum appellat, quia Cham genuit Chanaan; hic vero Mestraim, quem interpretantur Ægyptum. Verisimile enim est Chamum, quum esset avus Mestraim, habitasse in Ægypto quum Chanaan Palæstinam incoleret. Huc autem descendentes Hebræos, inquit, minime neglexit, sed illic etiam ipsos auxit, et propriæ benedictionis participes effecit. — Si quis vere est uti Jacob, non habitat ille in terram Cham; sed in ea peregrinatur.

v. 24. *Et auxit populum suum vehementer, et firmavit eum super inimicos ejus.*

Adeo ut dixerit Pharao, utpote qui Josephum non noverat: « Ecce nunc multiplicata est ista gens, et prævalet

v. 23. Vat. 4.
v. 24. Vat. 4, 16.

κραταιώθησαν, καὶ μὴ τῆς Ἰωσὴφ ἔτυχον προστασίας καὶ τῆς τοῦ Φαραὼ δεξιώσεως. Χωρὶς γὰρ τῆς ἀρετῆς καὶ γνώσεως, οὐκ ἄν τις γένοιτο τῶν ἐχθρῶν ἰσχυρότερος.

super nos. » Non qua multiplicati, ideo potentes facti, sed [odium exarsit] quod Josephi tutela non fruebantur, neque grato Pharaonis animo. Deposita enim virtute et scientia, nen est quod quis hostibus sit valentior.

v. 26, 27. Ἐξαπέστειλε Μωσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν, ὃν ἐξελέξατο αὐτόν. Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ καὶ τῶν τεράτων ἐν γῇ Χάμ.

Ἤδεσαν Μωσῆς καὶ Ἀαρὼν μόνοι τοὺς λόγους ὧν ἐποίησεν ἐν Αἰγύπτῳ, σημείων τε καὶ τεράτων, πῶς τε αὐτὰ ποιήσωσι καὶ τίνος συμβουλῇ.

v. 26, 27. *Misit Moysen servum suum, Aaron quem elegit ipsum. Posuit in eis verba signorum suorum et prodigiorum in terra Cham.*

Intellexerant soli Moyses et Aaron verba quæ fecerat in Ægypto signaque et prodigia, quomodo ea operarentur et quo de consilio.

v. 28. Καὶ παρεπίκραναν τοὺς λόγους αὐτοῦ.

Οἱ ἀκούοντες τῶν λόγων τοῦ Θεοῦ, καὶ μὴ ποιοῦντες αὐτοὺς παραπικραίνουσιν τοὺς λόγους αὐτοῦ.

v. 28. *Et exacerbaverunt sermones ejus.*

Qui audiunt sermones Dei, neque eos faciunt, hi exacerbant sermones ejus.

v. 29. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.

Οὐ γὰρ τὴν χροιὰν τῶν ὑδάτων μόνην, ἀλλά καὶ αὐτὴν μετέβαλε τῆς γενέσεως ποιότητα, ὥστε ἅπαντα διαφθαρῆναι τῶν ἰχθύων τὰ γένη.

v. 29. *Convertit aquas eorum in sanguinem, et occidit pisces eorum.*

Non colorem dumtaxat aquarum, sed ipsam mutavit elementi qualitatem, ut omnia piscium genera perirent.

v. 35. Καὶ κατέφαγε πάντα τὸν χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε τὸν καρπὸν τῆς γῆς αὐτῶν.

Ὀγδόη αὐτὴ πληγὴ πάντα χόρτον Αἰγύπτιον, καὶ πάντα τὸν καρπὸν τῆς Αἰγύπτου κατεσθίουσα· καὶ γὰρ τοιαῦτα ἦν, ὡς τῶν εὐτελεστάτων ζώων εἶναι τροφὴ, ἀχρίδων ὡς καὶ βρούχου, τῶν οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ. Καὶ ὁ Ἰσραὴλ μέντοι, ἐὰν μὴ κατὰ νόμον Θεοῦ πολιτευόμενος γεωργῇ, ἀκούσεται· τὰ κατάλοιπα τῆς κάμπης καταφάγεται ὁ βροῦχος, καὶ τὰ κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη.

v. 35. *Et comedit omne fenum in terra eorum, et comedit omnem fructum terræ eorum.*

Octava hæc plaga est, quæ omne fenum Ægyptiacum et omnem fructum Ægypti devoravit. Talia quippe evenerunt, ut depasti fuerint a vilissimis animalculis, locusta simul et eruca, et quidem sine nomine ac sine numero. Et Israel interea, si unquam contra legem Dei prævaricatus, agros coluerit, audiet: « Residuum erucæ comedet locusta, et residuum locustæ comedit rubigo. »

v. 36, 37. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐκ τῆς γῆς αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν, καὶ ἐξήγαγεν αὐτούς.

v. 36, 37. *Et percussit omne primogenitum in terra Ægypti, primitias omnis laboris eorum, et eduxit eos.*

v. 26, 27. Vat. 5, 16. cf. Theodoret.

v. 28. Vat. 4, 12, in quo Origenis nomen excidit.

v. 29. Vat. 4, 16. Iterum cf. Theodoret. cujus scholium transiit, uti alia multa, ad Pseudo-Chrysostomum ex Theodoreto consarcinatum.

v. 35. Vat. 4. Joel 1, 4.

v. 36, 37. Vat. 4.

Τὴν τῶν πρωτοτόκων πληγὴν ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐκάλει, τῶν Αἰγυπτίων δηλονότι. Οἷον γὰρ ἀνταπόδομα ἦν ἡ πληγὴ αὕτη ὧν εἰς τοὺς Ἑβραίους καὶ τὰ ἄρσενα αὐτῶν ἐποίησαν, ὅτε πονῆσαι αὐτοῖς ὑπὸ τὴν πληνθείαν καὶ τοὺς ἄλλους παρεσκεύασε πόνους· αὐτὴ γὰρ μόνη ἡ πληγὴ αὐτῶν Αἰγυπτίων καθίκετο καὶ ἀποστεῖλαι κατήπειξεν. Ὅθεν ἐπάγει· καὶ ἐξήγαγεν αὐτούς. — Ἐν τῇ δεκάτῃ μάστιγι πατάσσονται Αἰγυπτίων ῥίζαι καὶ ἀρχαί, καὶ πρωτότοκα καὶ ἀπαρχαὶ πόνων αὐτῶν λέγονται.

v. 37. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ.

Ἐν ἀργυρίῳ καὶ χρυσίῳ, ἀντὶ τοῦ μετ' ἀργυρίου καὶ χρυσίου, ἅπερ σύμβολά ἐστιν τῆς ἔξωθεν σοφίας.

v. 39. Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.

Ἡ νεφέλη φύσιν ἁγίαν δηλοῖ, καὶ ὁ στύλος τοῦ πυρὸς ὁμοίως δύναμιν σημαίνει νοηράν.

v. 40. Καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς.

Ἐγώ εἰμι ὁ ἄρτος, ὁ ἀπὸ τοῦ οὐρανοῦ καταβάς, ἐν τοῖς εὐαγγελίοις φησίν.

43. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.

Εἰ ὁ λαὸς ἐξῆλθεν ἐν ἀγαλλιάσει, οἱ δὲ ἐκλεκτοὶ αὐτοῦ ἐν εὐφροσύνῃ τῆς ἀγαλλιάσεως, ἐπεὶ καὶ μείζονες οἱ ἐκλεκτοὶ τοῦ λαοῦ.

v. 44. Καὶ πόνους λαῶν ἐκληρονόμησαν.

Νῦν τὸ ἀποτέλεσμα πόνου, πόνον ὠνόμασεν.

v. 45. Καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν.

Εἰ ὁ νόμος πνευματικός ἐστι, χρήζει πρὸς τὸ γνῶναι καὶ ζητῆσαι αὐτόν.

v. 37, 39. Vat. 5.
v. 40. Vat. 5. Joan. vi, 51.

Plagam primogenitorum vocavit *primitias omnis laboris eorum,* scilicet Ægyptiorum, tamquam enim retributio erat hæc plaga eorum quæ contra Hebræos et masculos eorum egerant, et ob opus lateritium et cæteros labores impositos. Hæc sola plaga est quæ Ægyptios perculit, et coegit ad dimittendum Hebræos. Unde subjicit: *et eduxit eos.* — In decima plaga percutiuntur Ægiptiorum radices et principia. quæ primogenita dicuntur et primitiæ laborum eorum.

v. 37. *Et eduxit eos in argento et auro.*

In argento et auro pro hisce: cum argento et cum auro, quæ symbola sunt exterioris sapientiæ.

v. 39. *Expandit nubem in protectionem, et ignem ut luceret eis per noctem.*

Nubes ostendit naturam sanctam, et columna ignis similiter significat virtutem spiritualem.

v. 40. *Et pane cœli saturavit eos.*

« Ego sum panis, qui de cœlo descendit, » ait in evangeliis.

v. 43. *Et eduxit populum suum in exultatione, et electos suos in lætitia.*

Si populus exivit in exultatione, at electi ejus in lætitia exultationis, electi enim populi potiores sunt.

v. 44. *Et labores populorum possederunt.*

Nunc laboris terminum, nominavit laborem.

v. 45. *Et legem ejus requirent.*

Si lex spiritualis est, indiget, unde cognoscatur, ut etiam requiratur.

v. 43. Vat. 5.
v. 44, 45. Vat. 5, 16.

Psalmus CV.

v. 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός. *Vat.* 693, 2.

Ἐπεὶ τὸ κυρίως ἐξομολογεῖσθαι τοῦ μηκέτι ἁμαρτάνοντός ἐστι, διὰ τοῦτο ὡς μὴ ἀκούουσιν ἡμῖν τὸ ἐξομολογεῖσθαι· ἁμαρτάνομεν γὰρ συνεχέστερον. Λέγεται τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ ἢ τοῖς ἀπογινώσκουσι διὰ τὰ πολλὰ ἡμαρτηκέναι, περὶ σωτηρίας ταῦτα λέγεται. Εἶτα ἐπάγει·

v. 2. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;

Τὸ Τίς ἐνταῦθα, οὐ τὸ ἀδύνατον, ἀλλὰ τὸ σπάνιον δηλοῖ· ἔστι δ' ὅτε καὶ τὸ ἀδύνατον δηλοῖ σημαίνειν, ὡς τό· Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; — Ὡσεὶ ἔλεγε· Τίς δύναται ἀξίως τὴν τοσαύτην ἀγαθότητα διηγήσασθαι; Ἑκάστη γὰρ πρᾶξις τοῦ Κυρίου αἰνέσεως γέμει. — Ἢ τάχα μὲν αἱ δυναστεῖαι τὰ θαυμάσια περιέχουσι· τὰ δὲ χαρίσματα τῶν ἰαμάτων τὰς αἰνέσεις αὐτοῦ· ὅσα γὰρ ὑπὲρ φύσιν ποιεῖ θνητήν, δυναστεῖαι τοῦ Κυρίου εἰσίν. Ἀλλ' ἐπεί, φησί, τὸ ὑμνεῖν αὐτὸν ἀξίως οὐκ ἔστι, ἐκεῖνοι μακάριοι, ὅσοι δι' αὐτὸν τὰ τῆς δικαιοσύνης ἔργα ἐπιτάττουσι· γίνεται γὰρ τούτων ὁ βίος ὕμνος τῷ Θεῷ· οὗτοι γὰρ μόνοι ἄξιοι τὰς δυναστείας λαλεῖν τοῦ Κυρίου, οἱ κρίσει πάντα ποιοῦντες καὶ λελογισμένως· οὗτοι καὶ ποιηταὶ δικαιοσύνης εἰσίν.

v. 3. Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

Ἐφ' ἑκάστης ἀρετῆς τό· ἐν παντὶ καιρῷ, λεκτέον, ποιοῦντες τὴν σωφροσύνην, ποιοῦντες ἀνδρείαν, ποιοῦντες ἀγάπην, μακροθυμίαν ἐν παντὶ καιρῷ, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

v. 5. Τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.

Ps. CV, v. 1. Vat. 4.
v. 2. Vat. 4, 5. Is. LIII, 8.
v. 3. Vat. 5.

v. 1. *Confitemini Domino, quoniam bonus.*

Quoniam vera confessio illius est qui minime peccat, idcirco hoc verbum *Confitemini* nobis est perinde ac surdis, peccamus enim sæpius. Dicitur confitendum esse Domino, ut vel desperantibus ob permulta peccata, hæc pro salute dicantur. Deinde pergit:

v. 2. *Quis loquetur potentias Domini? auditas faciet omnes laudes ejus?*

Hujus loci interrogatio *Quis,* non quod fieri nequit, sed quod rarum est, suggerit. Possit etiam aliquando declarare rem impossibilem, ut ibi: « Generationem ejus quis enarrabit? » — Ac si dixerit: Quis digne enarrare potest tantam benignitatem? Unaquæque enim Domini actio laude redundat. — Vel forte *potentiæ* continent prodigia, gratiæ autem sanitatum laudes illius sunt: quæcumque enim supra mortalem naturam efficit, Domini sunt potentiæ. Cæterum, inquit, quum illum digne celebrare nequeamus, beati illi sunt, quotquot per ipsum justitiæ opera faciunt. Hymnus enim Deo talium vita est, siquidem hi soli digni sunt potentias Domini enarrare, qui cum judicio et ratione cuncta operantur. Iidem etiam sunt justitiæ opifices.

v. 3. *Beati qui custodiunt judicium, et faciunt justitiam in omni tempore.*

Pro quacumque virtute hoc dicendum est *in omni tempore,* operantes castimoniam, operantes fortitudinem, operantes charitatem, longanimitatem *in omni tempore,* et de cæteris similiter.

v. 5. *Ad laudandum cum hæreditate tua.*

v, 5. Vat. 5. Ps. XXXIII, 3. In fine cod. κατ' ἐπίνοιαν.

Οὗτος ἐπαινετὸς ὁ κληρονομήσας τὴν φύσιν τὴν τοῦ Θεοῦ· ἐν τῷ Κυρίῳ ἐπαινηθήσεται ἡ ψυχή μου, τουτέστιν ἐν δικαιοσύνῃ, καὶ ἐν σοφίᾳ, καὶ ἐν γνώσει, καὶ ἐν ἀγάπῃ· ταῦτα ἡμῶν κατ' ἔπαινον ὀνομάζεται.

v. 7. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, καὶ οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου.

Ὅρα εἰ μὴ βέλτιόν ἐστι τοῦ ἰδόντος τὰ ἐν Αἰγύπτῳ θαύματα, καὶ μὴ νοήσαντος τὸν περὶ αὐτῶν λόγον, ὁ μὴ ἑωρακὼς μὲν αὐτὰ, συνιεὶς δέ. Ἐνταῦθα ἀπὸ τοῦ τόπου τὴν κατηγορίαν συνίστη· οὐ γὰρ δὲ χρόνος διέλειπε πολὺς, καὶ τῶν εὐεργεσιῶν τοῦ τόπου εὐθέως ἀμνημονήσαντες, τῶν οἰκείων τρόπων πάλιν κέχρηται. Θεασάμενοι γὰρ τοὺς Αἰγυπτίους διώκοντας, Μωσῇ κατεβόων· Παρὰ τὸ μὴ ἔχειν μνήματα ἐν γῇ Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς θανατῶσαι ἐν τῇ ἐρήμῳ; καὶ τὰ ἑξῆς. Ἀλλ' ὅμως καὶ ἀγνώμονας φανέντας τῆς σωτηρίας ἠξίωσας.

v. 8. Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ.

Εὐκολίαν δεδήλωκεν τῇ τῆς ἐρήμου περιβολῇ.

v. 9. Καὶ ἐπεθύμησε τῇ ἐρυθρᾷ θαλάσσῃ.

Καὶ ἐν τοῖς εὐαγγελίοις ὁ Χριστὸς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη.

v. 12. Καὶ ἐπίστευσαν τοῖς λόγοις αὐτοῦ, καὶ ᾔνεσαν τὴν αἴνεσιν αὐτοῦ.

Τοῦτο ἀναφέρεται εἰς τό· ἐπίστευσαν τῷ Θεῷ καὶ Μωσῇ τῷ θεράποντι αὐτοῦ· τὸ δὲ ἑξῆς εἰς τὴν ἐν ἐξόδῳ ᾠδήν· οὕτως οὖν ἦν, φησὶν, ὑπερβάλλον τὸ θαῦμα ὡς ἡττηθῆναι αὐλῶν τὴν ἀπιστίαν, καὶ ἄκοντας εἰς ὕμνον τοῦ θαυματουργήσαντος τραπῆναι, καὶ θαυμάσαι τὴν αἴνεσιν ἐκείνην, καὶ ᾆσαι· Ἄσωμεν τῷ Κυρίῳ. Σημειωτέον, ὅτε ἐξῆλθον αἱ

v. 7. Vat. 4. Exod. XIV, 11.
v. 8. Vat. 14. Fort. leg. τῇ παρεμβολῇ.

Laudandus ille est qui per hæreditatem naturam Dei habet: « In Domino laudabitur anima mea, » id est in justitia, in sapientia, in scientia, in charitate. Hæc nostra sunt quæ laudabilia dicuntur.

v. 7. *Patres nostri in Ægypto non intellexerunt mirabilia ejus, nec recordati sunt multitudinem misericordiæ tuæ.*

Considera utrum præstet vidisse mirabilia in Ægypto, nec rationem eorum intellexisse, eadem non vidisse, sed intellectu capere. Ibidem ab ipso loco accusationem instituit: haud enim multum temporis elapsum, ac beneficia ipsius loci cito obliti, suis iterum ingeniis indulserunt: videntes enim Ægyptios vestigiis insistentes, clamaverunt Moysi: « Forsitan non erant sepulcra in Ægypto, ideo tulisti nos ut moreremur in solitudine? » etc. Verum tu eos manifeste ingratos, salvos facere dignatus es.

v. 8. *Et salvavit eos propter nomen suum, ut notam facerent potentiam suam.*

Promptam animi voluntatem ostendit in solitudinis ambitu.

v. 9. *Et increpuit Mare rubrum.*

Et in evangeliis « Christus increpuit vento et mari, et facta est tranquillitas magna. »

v. 12. *Et crediderunt verbis ejus, et laudaverunt laudem ejus.*

Hoc refertur ad hunc locum: «Crediderunt Deo et Moysi servo ejus » ; Quod vero sequitur, respicit Exodi canticum: Ergo, inquit, adeo supereminens erat prodigium, ut eorum incredulitas superaretur, ac vel inviti ad laudandum auctorem miraculi converterentur, et admirabile illud præconium canerent: « Cantemus Domino, etc. » Adverte etiam in

v. 9. Vat. 5. Matth. VIII, 26, Marc. IV, 39.
v. 12. Vat. 4, 5. Exod, XV, 1, 20.

χορεύουσαι μετὰ Μαριὰμ, λέγουσαι· Ἄσωμεν κτλ. Εἶτα ἐπιφέρει·

v. 13, 14. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ, καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.

Δι' ἀγαθότητα γὰρ τοῦ Θεοῦ προστεθέντων καὶ τῶν ἐν τῇ θαλάσσῃ κυμάτων, παραχρῆμα μὲν πιστεύσαντες ἦσαν αὐτῷ τὴν ᾠδὴν ἐν Ἐξόδῳ κειμένην, εἶτα πάντα παρέδωκεν λήθῃ. Οὕτω, φησὶν, ὀξεῖα ὤφθη τοῦ θαύματος ἡ λήθη, ὡς δοκεῖ μηδὲ γεγενῆσθαι. Τίς ἡ ἀπόδειξις; ἠβουλήθη, φησὶν, δοκιμάσαι αὐτοὺς ἐν τῇ ἐρήμῳ· οἱ δὲ δοκιμασίαν καθάπαξ οὐχ ὑπέμειναν, ἀλλ' ἐπεθύμησαν ἐπιθυμίαν· λέγει δὲ τὴν τοῦ ὕδατος ἀντιλογίαν. Καὶ ἐπὶ τούτῳ καὶ ἐπιφέρει· Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. Ἰστέον δὲ ὅτι ὡς ἀπὸ τῶν ἐσχάτων ἤρξατο θαυμάτων, τοῦτο δὲ καὶ ἐν τῷ οζ' πεποίηκεν, ἐπεὶ ἐπέταξε πέτραν, εἰπών·

v. 15. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, καὶ ἐξαπέστειλε πλησμονὴν εἰς τὴν ψυχὴν αὐτῶν.

Ὁ δὲ καὶ τοῦτό φησι· παριδὼν τὸ πλημμέλημα, παρέσχεν αὐτοῖς τὸ αἰτηθὲν, ἀντὶ τοῦ· Δέδωκεν αὐτοῖς ὕδωρ εἰς πλῆθος, ὥστε τὸ περιττὸν ποταμὸν ἐκτελεῖν, ἢ αἴτημα τὴν ἐπιθυμίαν εἶπεν, οὐ γὰρ ᾔτησαν, ἀλλὰ κατελάλησαν.

v. 16. Καὶ παρώργησαν Μωϋσῆν, ἐν τῇ παρεμβολῇ, καὶ Ἀαρὼν τὸν ἅγιον Κυρίου.

Οἱ τὰς ἐντολὰς τοῦ Θεοῦ παραβαίνοντες, Μωϋσῆν παροργίζουσιν· οἱ δὲ τὴν πίστιν ἀθετοῦντες, τὸν Ἀαρὼν παροξύνουσιν. Ὁ μὲν γὰρ πρᾶξιν, ὁ δὲ θεωρίαν σημαίνει.

v. 17. Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών.

v. 13, 14. Vat. 4. Plus minus similia habent vulgatus Athanasius et Heracleota.

chorum exivisse mulieres cum Maria, dicentes: « Cantemus etc. » Et subjungit:

v. 13, 14. *Cito perrexerunt, obliti sunt operum ejus, et non sustinuerunt consilium ejus, concupierunt concupiscentiam in deserto, et tentaverunt Deum in inaquoso.*

Namque dum, favente Dei benignitate, etiam in mari rubro fluctus subjecti fuissent, in promptu quidem cum fide cecinerant hymnum in Exodo scriptum, postmodum cuncta oblivioni tradiderunt· Eo usque, ait, velox visa est prodigii oblivio, ut tantum non contigisse appareret. Quid argumento est? Voluit, inquit, eos probare in deserto. Illi vero ne semel quidem probationem sustinuerunt. sed *concupierunt concupiscentiam.* Asserit autem contradictionem de aqua. — Et super hoc etiam subjicit: *Et tentaverunt Deum in inaquoso.* Sciendum vero quod quum ab extremis miraculis orsus fuerit, idem fecit in psalmo LXXVII inquiens, cum petram percussit:

v. 15. *Et dedit eis petitionem ipsorum, et misit saturitatem in animam eorum.*

Qui sane id ait: parcendo impio facinori, dedit eis juxta petita, videlicet: largitus est aquam in tanta abundantia, ut quod supererat, in flumen eruperit; vel *petitionem* intellexit desiderium. Nam non petebant, sed murmurabant.

v. 16. *Et irritaverunt Moysen in castris, et Aaron sanctum Domini.*

Qui præcepta Dei transgrediuntur, Moysen irritant; qui vero fidem aspernantur, exacerbant Aaron. Ille actionem, hic contemplationem præ se fert.

v. 17. *Aperta est terra, et deglutivit Dathan, et operuit super congregationem Abiron.*

v. 15. Vat. 4.
v. 16. Vat. 5.

Σημειωτέον ὅτι τὸ πρῶτον περὶ Δαθὰν γενόμενον, καὶ Ἀβειρὼν ἐν Χωρὴβ κατὰ τὴν μοσχοποΐαν ὕστερον εἶπεν, ἵνα μὴ ταράττῃ ἡμᾶς τοιαῦτα ὁρῶντας, καὶ τὸ ἐν τούτοις ἔθος τῆς γραφῆς.

v. 23. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς.

Ὅτε εἶπεν· Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου.

v. 26. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς.

Ὥσπερ ὀφθαλμὸς Κυρίου, καὶ χεῖρες ὀνομάζονται δυνάμεις τινὲς νοεραί.

v. 28. Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ.

Εἴδωλον τοῦτο Ἀμμονιτῶν, ὁ καλούμενος παρ' Ἕλλησι Κρόνος.

29. Καὶ ἔφαγον θυσίας νεκρῶν.

Ἢ διὰ τὸ νεκρομαντείας τὰ περὶ τὰ ξόανα τελετὰς ποιεῖν, ἢ διὰ τὸ νεκρῶν ἀνδρῶν μνήμας ποιεῖσθαι. Νεκροὶ γάρ, οἱ περὶ τὸν Κρόνον.

v. 30. Καὶ ἔστη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις.

Ὅτε ἀνεῖλεν τὴν Ἀμμανίτιν μετὰ τοῦ πορνεύσαντος· διδάσκει δὲ ἡμᾶς ὁ λόγος πόσον δύναται ἑνὸς ἀνδρὸς εὐσέβεια πρὸς Θεόν.

v. 32. Καὶ ἐκακώθη Μωυσῆς δι' αὐτούς.

Ἀντὶ τοῦ προσέκρουσε Θεῷ.

v. 34. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη ἃ εἶπε Κύριος αὐτοῖς.

Ὁ ἀποθέμενος τὰ πάθη, οὗτος ἐξωλόθρευσεν τὰ ἔθνη ἃ εἶπε Κύριος.

v. 45. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.

Advertendum primum fieri sermonem de Dathan, et postremo loco de Abiron in Horeb. Circa fabricam vituli, inferius locutus est, ne ad hujus modi spectacula nos terreret; et hæc est ita referendi consuetudo Scripturæ.

v. 23. *Et dixit ut disperderet eos.*

Quando dixit: « Nisi remittas eis peccatum, remitte; sin aliter, dele me de libro tuo. »

v. 26. *Et levavit manum suam super eos.*

Ut oculus Domini, manus quoque vocantur spirituales virtutes.

v. 28. *Et initiati sunt Beelphegor.*

Idolum est Ammonitarum, apud Græcos vocatum Chronus.

v. 29. *Et manducaverunt sacrificia mortuorum.*

Vel per necromantiam, immolando victimas juxta simulacra, vel recolendo memorias mortuorum: mortui sunt enim qui adorant Chronum, sive tempus.

v. 30. *Et stetit Phinees, et placavit, et cessavit calamitas.*

Quando confodit Ammonitidem cum fornicatore: quæ scriptura docet nos quantum valeat apud Deum unius viri religio.

v. 32. *Et vexatus est Moyses propter eos.*

Id est, clamavit Deo.

v. 34. *Non disperdiderunt gentes quas dixit Dominus illis.*

Qui dejicit voluptates, ille disperdit gentes quas renunciavit Dominus.

v. 45. *Et memor fuit testamenti, et pœnituit eum secundum multitudinem misericordiæ suæ.*

v. 23. Vat. 5. Exod. xxxii, 32. cf. Athanas. Theodoret. et pseudo Chrysost.

v. 26. Vat. 4. Rectius Origenes ad clavem Melitonis quam habuit, se retulisset.

v. 28. Vat. 5. cf. eumdem Athanasium.

v. 30. Vat. 5. Num. xxv, 7. alias Μαδιανίτιν cod. Ἀμμανίτην.

v. 32, 34. Vat 5.

v. 45. Vat. 4, 6. Scholium transiit ad Theodoretum et pseudo-Chrysostomum.

Διὰ γὰρ τὰς πρὸς πατέρας ἐπαγγελίας τὸν ἔλεον ἐχορήγησεν· μεταμέλειαν δὲ καλεῖ τῆς παιδείας τὴν παῦλαν. Ὁ γὰρ Θεὸς τῆς μεταμελείας οὐκ ἔχει τὸ πάθος, οὐδὲ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις ἀρέσκεται, ἀλλὰ σοφῶς ἅπαντα πρυτανεύων, καὶ παιδείας ἐπάγει καὶ φιλανθρωπίαν ὀρέγει.

Ob ea quæ patribus pollicitus est, misericordiam erogavit. Pœnitentiam autem vocat disciplinæ defectum. Deus enim non capit pœnitentiæ affectum, neque modo hæc, illa modo placita habet, sed sapienter omnia providens, et correctionem adhibet, et benignitatem impertitur.

v. 47. Καὶ ἐπισυνάγαγεν ἡμᾶς ἐκ τῶν ἐθνῶν· τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ. τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.

Τούτους συνάγει ἀπὸ τῶν ἐθνῶν ὁ Θεὸς οὓς ἀφίστησιν ἀπὸ κακίας καὶ ἀγνωσίας. — Ὁ Κύριος ἡμῶν ἡ αἴνεσίς ἐστιν, εἴ γε ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.

v. 47. *Et congrega nos de gentibus, ut confiteamur nomini tuo, et gloriemur in laude tua.*

Hos Deus de gentibus colligit, quos amovet ab improbitate et ab ignorantia. — Dominus nostra laus est: « Si quis gloriatur, in Domino glorietur. »

v. 47, Vat. 5. II. Cor. x, 17.

Psalmus CVI.

v. 3. Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης.

Ὁ μὲν ἀπὸ ἀνατολῶν ἐξελθὼν, οὗτος πέπαυται τοῦ ἐπιθυμεῖν καὶ ὀργίζεσθαι, ἀπαθὴς γεγονώς. Ὁ δὲ ἀπὸ δυσμῶν συναχθεὶς, ἀπέχεται μοιχείας καὶ φόνου καὶ τῶν κατ' ἐνέργειαν τέως ἁμαρτιῶν. Εἴ δέ τις τοῦ βοῤῥᾶ καὶ τῆς θαλάσσης ἀπήλλακται, οὗτος ἐν ἀληθέσι δόγμασιν ὢν, οὐκέτι περιφέρεται παντὶ ἀνέμῳ διδασκαλίας, οὐδὲ περὶ τὴν πίστιν ναυαγεῖ, κυβέρνησιν θείαν κτησάμενος διὰ τῆς χάριτος τοῦ Χριστοῦ.

v. 3. *Et de regionibus congregavit eos, ab Oriente et Occasu, et ab Aquilone et mari.*

Ab *Oriente* egressus est qui ab œstu carnis et iræ quievit, cupidinum liber. Ab *Occidente* autem congregatus est, qui abstinet se a moechia et homicidio, et quibuscumque peccatorum actibus. Si quis vero remotus est *ab Aquilone et mari,* ille stans in veris dogmatibus, jam non circumfertur omni vento doctrinæ, neque circa fidem naufragatur, ut qui per gratiam Christi divinum adeptus sit gubernaculum.

v. 4. Ἐπλανήθησαν ἐν τῷ ἐρέμῳ ἀνύδρῳ, ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον.

Οὐ γὰρ ἦν ἐν αὐτοῖς πολιτεία χρηστὴ, ἀλλ' ἦσαν ἐν πλάνῃ πολλῇ.

v. 4. *Erraverunt in deserto, viam civitatis habitaculi non invenerunt.*

Haud enim erat illis honesta vitæ ratio, sed errore multo fallebant.

v. 5. Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.

v. 5. *Esurientes et sitientes anima eorum in ipsis defecit.*

Ps cvi, v. 3. Vat. 5. De vaticano B silendum usque ad ps. cxxxvi, ob ingentem et luctuosam codicis lacunam. Legere aliquis maluerit ἐπιθυμεῖν καὶ ὀρέγεσθαι. Eph. iv, 14. 1 Tim. 1, 19.

v. 4, Vat. 5. Scholiolum recepit vulgatus Athanasius.

v. 5. Vat. 5. Ps. cIII, 15, cum Joan. iv, 13. conferatur.

Οὐδὲ γὰρ εἶχον ἄρτον τὸν στηρίζοντα καρδίαν αὐτῶν, οὐδὲ τὸ ὕδωρ τὸ ζῶν, περὶ οὗ λέγεται· Ὁ πίνων ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψώσει εἰς τὸν αἰῶνα.

v. 6. Καὶ ἐκέκραξαν πρὸς Κύριον, ἐν τῷ θλίβεσθαι αὐτούς.

Καθὸ τὰς ὑπὲρ αὐτῶν ἱκετείας ἀνέφερον οἱ προφῆται.

v. 7. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.

Πόλις κατοικητηρίου ἐστὶν ἡ γνῶσις τοῦ Θεοῦ.

v. 10. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.

Καθὸ φῶς ἐστιν ὁ Κύριος, ἐξάγει ἡμᾶς ἐκ σκότους· καθὸ δὲ ζωὴ, ἐκ σκιᾶς θανάτου· καὶ πάλιν ὡς δυνατὸς, διαῤῥήξει δεσμούς. — Κάθηνται μὲν ἐν σκότει καὶ σκιᾷ θανάτου οἱ ἀγνοίᾳ συζῶντες· πεπέδηνται δὲ σιδήρῳ οἱ ἐν κακίᾳ διάγοντες.

v. 11. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν.

Βουλὴ Κυρίου λέγεται φύσις ἁγία, ἡ παροξυνομένη ἐπὶ τοῖς ἁμαρτάνουσιν.

v. 12. Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν, ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν.

Οἱ ἐν κοσμικοῖς κόποις, ταπεινοῦνται τὴν καρδίαν· ἠσθένησαν, ὡς καὶ τὸ παρὰ Παύλῳ· Πολλοὶ ἀσθενεῖς. Καί· Ἀντέχεσθε τῶν ἀσθενῶν, καὶ τὸν ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε.

v. 16. Ὅτι συνέτριψεν πύλας χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν.

Δεσμοὺς, πύλας χαλκᾶς, ἤτοι τὰς κακίας

v. 6. Vat. 5.
v. 7. Vat 5.
v. 10. Vat. 5, 16.

Neque enim habebant panem qui confortet cor eorum, aut aquam vivam de qua dictum est: « Qui bibit ex hac aqua, quam ego dabo illi, non sitiet in æternum. »

v. 6. *Et clamaverunt ad Dominun, cum tribularentur.*

Quemadmodum super eos prophetæ supplicum vota tulerunt.

v. 7. *Et deduxit eos in viam rectam, ut irent in civitatem habitationis.*

Civitas habitationis est cognitio Dei.

v. 10. *Sedentes in tenebris et umbra mortis, compeditos in mendicitate et ferro.*

Qua lumen est Dominus, nos eruit ex tenebris; qua autem vita, ex umbra mortis. Insuper uti potens, vincula disrumpet. Sedent quidem in tenebris et umbra mortis qui vivunt in ignorantia; ferro autem compediti sunt, qui in malitia manent.

v. 11. *Quia exacerbaverunt eloquia Dei, et consilium Altissimi irritaverunt.*

Consilium Domini nuncupatur natura sancta, quæ exacerbatur auper peccatores.

v. 12. *Et humiliatum est in laboribus cor eorum; infirmati sunt, nec fuit qui adjuvaret.*

Qui in sæcularibus curis sunt, humiliantur corde; sunt infirmi, ut apud Paulum: « Multi debiles. » Et juxta illud: Debilibus occurrite, et infirmum in fide suscipite. »

v. 16. *Quia contrivit portas ferreas, et vectes ferreos confregit.*

Vincula, portas æreas sive nequitias

v. 11. Vat. 5.
v. 12. Vat. 4. 1 Cor. XI, 30. Rom. XIV, 1.
v. 16. Vat. 5.

λέγει, ἢ τοὺς ἐνεργοῦντας αὐτὰς δαίμονας. Διὰ δὴ τοῦ μοχλοῦ τὸ δυσκαμπὲς πρὸς τὴν ἀρετὴν τοῦ ἡγεμονικοῦ δεδηλῶσθαι νομίζου.

v. 18. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.

Βρῶμα τοῦ νοητοῦ ἄρτου φησί. — Πύλας θανάτου, σκιὰν θανάτου καὶ σκότος τὴν εἰδωλολατρείαν φησί.

v. 20. Ἀπέστειλε τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

Ἰάσατο αὐτοὺς ὁ Λόγος κατὰ τὴν ἐπίνοιαν ἰατροῦ· ἐῤῥύσατο, ἀναιρέσει νομικῆς λατρείας,

v. 21, 22. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Καὶ ἐξαγγελλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

Ὁ τοὺς περὶ προνοίας ἐπιστάμενος λόγους, οὗτος δοξάζει τὰ ἐλέη τοῦ Κυρίου. — Ἐξαγγέλλει δὲ τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ πᾶς ὁ τὰ εἰς αὐτὸν γινόμενα ἐξαγγέλλων, καὶ πεῖραν ἐσχηκὼς τῆς αὐτοῦ ἐργασίας, οὐχ ὁ ἁπλῶς τὰ ἑτέροις γενόμενα διηγούμενος.

v. 23. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς.

Παραβολικῶς ταῦτα τέθεικεν ὁ προφήτης· λέγει δὲ τοῦτο, ὅτι καθάπερ οἱ ναυτιλλόμενοι, καὶ τὰ μεγάλα διαπερῶντες πελάγη, διαφερόντως τὰς θείας μεγαλουργίας ὁρῶσι· κλύδωσι μὲν χαλεπῶς περιπίπτοντες, παρὰ πᾶσαν δὲ ἀνθρωπίνην ἐλπίδα τῆς σωτηρίας ἀπολαύοντες· οὕτως καὶ Ἰουδαῖοι ταῖς συμφοραῖς ἐκείναις περιπεσόντες, καὶ τὴν ἐλευθερίαν ἀπειληφότες, τὴν θείαν κατέμαθον δύναμιν. Καὶ μὲν δὴ καὶ πάντες ἄνθρωποι τὴν ξένην τῶν πραγμάτων ὁρῶντες με-

dicit, vel dæmones illarum opifices. Sane per vectes cogita signari arduum opus summæ rationis ad virtutem capessendam.

v. 18. *Omnem escam abominata est anima eorum, et appropinquaverunt usque ad mea portas mortis.*

Escam ait spiritualem panem; portas vero mortis et umbram mortis et tenebras dicit idololatriam.

v. 20. *Misit Verbum suum, et sanavit eos, et eripuit eos de corruptelis eorum.*

Sanavit eos Verbum, juxta medici peritiam; eripuit, sublato legis cultu.

v. 21, 22. *Confiteantur Domino misericordiæ ejus, et mirabilia ejus filiis hominum; et annuntientur opera ejus in exsultatione.*

Qui probe novit rationes providentiæ, ille misericordias Domini glorificat. — Annuntiat autem opera ejus in exultatione, quicumque etiam erga se ipsum acta prædicat, et experimentum fecit illius beneficentiæ, non vero ille qui tantum opera in cæteris facta enarrat.

v. 23. *Qui descendunt in mare, in navibus, negotiantes in aquis multis.*

Fictitio more proposuit hæc propheta, id vero asserit: scilicet, quemadmodum qui navigant, et magna emetiuntur æquora, multifariam Dei portenta speculantur, nunc procellis ægre circumjactati, nunc præter omnem hominum spem incolumitate gaudentes; ita Judæi et hisce calamitatibus convoluti, et libertatem adepti divinam virtutem scite experti sunt. Omnes enimvero homines, quicumque inexpectatam cernunt re-

v. 20, Vat. 5.
v. 21, 22. Ibid.
v. 23. Vat. 5, 16. Scholii partem priorem excepit Theodoretus, ultima vero pseudo Chrysostomus, inter spuria Montefalconii. cf. Matth. VIII, 25, 26.

ταβολὴν, καὶ τῆς προτέρας [συμφορᾶς] τὴν παῦλαν, καὶ τῶν ψυχῶν τὴν γαλήνην, καὶ τῆς ἀναστάσεως τὸν λιμένα, τὸν τούτων θαυμάζουσι χορηγόν. — Ἢ καὶ περὶ τῶν ἀποστόλων φησὶν, ὅτε [ἐβόων]· Καὶ ἐλέησον, Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. Καὶ ἐπετίμησεν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη.

v. 28, 29. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκαίων αὐτῶν ἐξήγαγεν αὐτούς. Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.

Τρίτον τὸ ἐκέκραξα λέγεται, καὶ ὁ ἑξῆς στίχος, ἐπὰν κραξάντων ἡμῶν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι [ἵνα] ἐπακούσας ῥύσηται ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, καὶ στήσῃ τὴν τῶν πειρασμῶν καταιγίδα εἰς αὔραν, καὶ ἡσυχάσῃ τὰ καθ' ἡμῶν κύματα τοῦ βίου. — Εἰ τὰ κύματά εἰσιν οἱ πειρασμοὶ, τῶν δὲ πειρασμῶν οἱ μὲν ἀναγκάζουσιν ἡμᾶς βλασφημεῖν εἰς τὸν Θεὸν, οἱ δὲ καὶ εἰς ζῶντας καὶ εἰς νεκροὺς ἐξαμαρτάνειν, καλῶς οὖν λέγεται τὰ κύματα ἀναβαίνειν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνειν ἕως τῶν ἀβύσσων· τινὲς δὲ ταῦτά φασιν ὑπερβολικῶς λαλεῖν τὸν Δαυίδ.

v. 30. Καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν.

Λιμὴν μὲν ψυχῆς ἡ ἀπαθεία· λιμὴν δὲ νοῦ, γνῶσις σωμάτων καὶ ἀσωμάτων.

v. 33. Ἔθετο ποταμοὺς εἰς ἔρημον.

Οὗτοι οἱ ποταμοί εἰσιν περὶ ὧν εἶπεν ὁ Σωτὴρ ἐν τοῖς εὐαγγελίοις· Οἳ καταστρέφονται οἶκον τοῦ μωροῦ τοῦ οἰκοδομήσαντος ἐπὶ τῆς ψάμμου.

v. 34. Γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

Ὅσον ἐκ τοῦ ῥητοῦ, γινώσκομεν ὅτι οὐ καρποφορεῖ πολλάκις ἡ γῆ διὰ τὴν κακίαν τῶν κατοικούντων ἐν αὐτῇ.

v. 28, 29. Vat. 5.
v. 30. Vat. 4. 5.

rum mutationem, et prioris c
improbitatem, et animarum
tatem, et resurrectionis portu
auctorem munificum demiran
hoc de apostolis dicit clamant
miserere, Domine; salva nos
Et imperavit ventis et mari, e
tranquillitas magna. »

v. 28, 29. *Et clamaverunt ad cum tribularentur, et de nec eorum eduxit eos, et procellæ im stetit in aura, et siluerunt fluc*

Ter dicitur *clamavi,* etiam sequenti, cum nos clamamus num in angustiis, ut exaudie ruat ex necessitatibus, et in a ponat tentationum tempestate pescat vitæ fluctus in nos tu Si fluctus tentationes sunt, qu nos ad blasphemiam in Deur pellunt, aliæ ad peccandum t ventes quam in mortuos, recte fluctus qui ascendunt ad cœlos descendunt usque ad abyssos. qui volunt hæc apud David l co modo dici.

v. 30. *Et deduxit eos in port tatis eorum.*

Portus quidem animæ est i affectuum: portus vero menti corporum et spirituum.

v. 33. *Posuit flumina in dese*

Hæc flumina sunt de quibu in evangeliis ait: subvertun stulti, qui ædificavit in arena.

v. 34. *Terram fructiferam i nem, a malitia inhabitantium i*

Quantum ad litteram, sæpe terram non fructiferam esse ol habitantium in ea.

v. 33. Vat. 5. Matth. VII, 26, 27.
v. 34. Vat. 5.

v. 37, 38. Καὶ ἔσπειραν ἀγροὺς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος, καὶ εὐλόγησεν αὐτούς.

Οἱ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα μεταβάλλοντες διὰ τὰς τῶν ἀποστόλων παραδόσεις, ἐν ταῖς τῶν ἀνθρώπων κατασπείρουσι ψυχαῖς, φυτεύουσί τε ἀμπελῶνας, τὰς ἁπανταχοῦ γῆς ἐκκλησίας. Οὐ πάντες οἱ γεωργοῦντες καρποὺς αἰσθητοὺς, εὐλογοῦνται, ἀλλ' οἱ ποιοῦντες καρποὺς πνευματικούς· ὁ γαρ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χάρα, εἰρήνη, μακροθυμία, πίστις, πραΰτης, ἐγκρατεία.

v. 40. Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.

Οἱ Ἰουδαῖοι παρῃτήσαντο τὴν ἐφ' ἣν ἐκλήθησαν, εὐθεῖαν ὁδόν· πλάνην μὲν γὰρ ὁ θεὸς οὐκ ἐπάγει, τοὺς δὲ μὴ πειθομένους ἀκυβερνήτους ἐᾷ, καὶ πανταχοῦ πλανῶνται, τὸν ὁδηγοῦντα ἀποβαλόντες. Ὁ δὲ Σύμμαχος μελλητυκῶς, οἷον· καὶ πλανήσει αὐτοὺς ἐν ματαιότητι διανοίας.

v. 41. Καὶ ἐβοήθησαν πένητι ἐκ πτωχείας, καὶ ἔθετο ὡς πρόβατα πατριάς.

Τίς δὲ ὁ βοηθηθεὶς πένης; ὁ ἐξ ἐθνῶν λαός· τῇ γὰρ τοῦ Χριστοῦ πτωχείᾳ ἡμεῖς ἐπλουτίσθημεν· πατριὰν δὲ ὀνομάζει τὸ σύστημα τῶν τὸν θεῖον κατάλογον συμπληρούντων, τουτέστι συντελούντων. [Ὁ μὲν Ἀκύλας· θήσει ὡς ποίμνιον συγγενείας]. Ὁ δὲ Σύμμαχος· Τάξει ὡς ποίμνια τὰς συγγενείας, τὰς κατὰ πόλεις καὶ χώρας ἐκκλησίας, ἐκ διαφόρων συνεστῶσας συγγενειῶν. Ταῦτα δὲ μέλλοντα ἔσεσθαι οὔ πως δὲ κατὰ τὸν ἐν ᾧ προυφήτευσε καιρὸν, ὄντα προεθέσπισεν. Διό φησιν·

v. 37, 38. *Et seminaverunt agros, et plantaverunt vineas, et facerunt fructum secundum genus, et benedixit eos.*

Qui a deterioribus ad meliora alios revocant, juxta apostolorum traditiones, in hominum animabus seminant, et plantant vineas, ecclesias per universam terram conditas. — Non omnes qui habent fructus visibiles, benedicuntur, sed qui faciunt fructus spirituales: fructus autem spiritus sunt charitas, gaudium, pax, magnanimitas, fides, mansuetudo, temperantia.

v. 40. *Et errare fecit eos in invio et non in via.*

Judæi dereliquerunt rectam ad quam vocati fuerant viam. Etenim Deus non inducit errorem, sed eos qui ipsi non obediunt, sinit esse gubernaculo destitutos, et hi undecumque errant, cum viæ ducem rejecerint. Symmachus vero per futurum ait, nimirum: *Et errare faciet eos in vanitate cogitationis.*

v. 41. *Et adjuvit pauperem de inopia, et posuit sicut oves familias.*

Quis vero is pauper, qui adjutus est? Populus gentium. Christi enim paupertate nos divites facti sumus. *Familiam* autem vocat cœtum eorum qui in divinum catalogum cooptantur, id est qui perfectum illum efficiunt. [Aquila: *Ponet sicut ovile cognationes*], Symmachus vero: *Statuet sicut ovilia cognationes;* scilicet ecclesias per civitates ac regiones ex diversis cognationibus constantes. Hæc autem futura vaticinatus est, haud respectu ad tempus in quo hæc prædicit, sed præsentia auguratus, ideo addit:

v. 37, 38. Vat. 4, 5. Eadem fusius ornavit Didymus, quin tamen, id quod optaverim, magis perspicuè declaraverit illud quod habet: διὰ τῆς τῶν ἀποστόλων παραδόσεως. Cæterum non semel Origenes alludit ad quasdam apostolorum διατάξεις, sive canones, sive traditiones.

v. 40. Vat. 4. Quæ conglobatim perstrinxit Heracleota, excerpsit vero Ensebius. Ad Hexapla cf. Field. II, 264, qui tantum ex syriaco in fine supplevit δι' ἀνοδίας. Unde disquirendum utrum melius sit pro διανοίας dividere et legere: δι' ἀνοίας.

v. 41. Vat. 5. In codd. nostris desideratur Aquila, qui toties solet præire, quoties sequitur: ὁ δε Σύμμαχος. cf. Eusebius ex quo Hexapla supplentur, consentiente Thodoreto apud Fiel. l. l.

v. 42. Ὄψονται εὐθεῖς, καὶ εὐφρανθήσονται· καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.

Ὄψονται εὐθεῖς· τί ὄψονται; τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. Τότε ἡμεῖς γενόμεθα πρόβατα, ὅταν ὁ Κύριος γένηται ποιμήν. Τὸν ἄνομον ἀνομίαν ὀνομάζει.

v. 42. *Videbunt recti et lætabı omnis iniquitas oppilabit os suum*

Videbunt recti. Quid videbunt tionem in melius. Tum nos ov mur, quum Dominus fit pastor.] vocat iniquitatem.

v. 42. Vat. 5.

Psalmus CVII.

v. 2. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

Ἐπείπερ οὐ τοῦ τυχόντος ἐστιν ᾄδειν καὶ ψάλλειν, ἀλλὰ τοῦ καθαροῦ τῇ καρδίᾳ καὶ τεθαῤῥηκότος· τὸ γὰρ δὶς ἑτοίμη ἀναφέρεται, τὸ μὲν διὰ τὴν θεωρίαν, τὸ δὲ διὰ τὴν πρᾶξιν· καὶ διὰ μὲν τὴν θεωρίαν, τὸ ᾄσομαι· διά τὴν πρᾶξιν δὲ, τὸ ψαλῶ. Ἐν τῇ δόξῃ δέ τις γενόμενος, ᾀδέτω καὶ ψαλλέτω.

v. 3. Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου.

Τοῦ νοῦ μὲν σύμβολόν ἐστι τὸ ψαλτήριον, τῆς δὲ ψυχῆς ἡ κιθάρα. Καὶ νοῦς μὲν ἐγείρεται ἀποβάλλων ἄγνοιαν, ψυχὴ δὲ κακίαν. Ψυχὴν δὲ λέγω τὸ παθητικὸν μέρος τῆς ψυχῆς, ὅπερ ἐστὶ τὸ θυμικὸν καὶ τὸ ἐπιθυμικόν. — Ἀλλὰ καὶ οἷς ἀνετεῖλετο φῶς τὸ ἀληθινὸν, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες, ἐναρμονίως μελῳδοῦσι τῷ Σωτῆρι Θεῷ.

v. 5. Καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

Τὴν τοῦ Θεοῦ ἀλήθειαν αἱ λογικαὶ νεφέ-

v. 2. *Paratum cor meum, Deu tum cor meum. Cantabo et psalla ria mea.*

Quoniam non est cujusque cantare et psallere, sed ejus qı corde est ac fidentissimus: ind *ratum* repetitur; semel pro spec iterum pro actione: equidem ad theoriam, dicitur *cantabo,* ad vero *psallam.* Si quis autem in pervenit, ille cantet, ille psallat

v. 3. *Exsurge, psalterium et exsurgam diluculo.*

Mentis symbolum est psalteri mæ vero cithara. Atqui mens exp dum excutit ignorantiam: anir malitiam. Dico autem animam partem qua sentit, videlicet qu tur et concupiscit. — Sed et qu vera orta est, hi tamquam in die ambulantes, canunt cum melod tori Deo.

v. 5. *Et usque ad nubes verita*

Veritatem Dei cognoscunt sp

Pseudo Hieronymus. v. 2. *Paratum cor meum* etc. Paratus sum non solum opere, sed etiam sensu. *Paratum cor meum* in opere, hoc est in practice. Quoniam non solum corde et sensu, sed e ra paratus sum, propterea et dico.

Ps. cvii. v. 2. Vat. 5.
v. 3. Ibid. cf. Ps. xcvi, 11. Rom. xiii, 13. 1 Thess. iv, 11.
v. 5. Ibid. cf. Is. v, 6.

λαι γινώσκουσιν, αἷς ἐντέλλεται μὴ βρέξαι ἐπὶ τοὺς ἁμαρτωλοὺς ὑετόν.

v. 6. Ὑψώθητι ὑπὸ τοὺς οὐρανούς, ὁ Θεός.

Ὅτε ὁ Χριστὸς εἰρηνοποίησε διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἐπέφανεν ἐν ταῖς ἐκκλησίαις ἡ δόξα τοῦ Θεοῦ, ὑψώθη ἐπὶ τοὺς οὐρανούς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα Κυρίου.

v. 8. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ.

Ὁ ἅγιος τοῦ Θεοῦ ἐστίν.

v. 10. Μωὰβ λέβης τῆς ἐλπίδος μου, ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

Εἰς πρόσωπον εἴη τοῦ Σωτῆρος, ὁ ταῦτα λέγων· ἐπεὶ μεταλαμβάνεται Ἰδουμαία εἰς τὰ γήϊνα, ἐρεῖ ἐπὶ τὴν γῆν καὶ τὰ γήϊνα τὴν πορείαν ποιήσεσθαι· σύμβολον γὰρ κεκαλυμμένον πορείας τὸ ὑπόδημα. Πάλιν μὲν γὰρ γυμνῇ τῇ πορείᾳ ἔχρητο, κτίζων, προνοούμενος· νῦν δὲ μετὰ σαρκὸς ἧς παράκειται, καὶ ὑπόδημα αὐτοῦ τυγχάνει. — Εἰ ὁ ἄρχων τοῦ κόσμου τούτου ἐξηβλήθη ἀπὸ τοῦ Σωτῆρος ἔξω, πόσῳ μᾶλλον οἱ ἀρχόμενοι δαίμονες ὑπ' αὐτοῦ.

v. 13. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπων.

Ἡ σωτηρία τῆς λογικῆς φύσεως πνευματικὴ γνῶσίς ἐστι, διὸ καλῶς γέγραπται ὅτι παρὰ ἀνθρώπων σωτηρία ματαία ἐστίν.

nubes, quibus præcipitur ne pluant super peccatores.

v. 6. *Exaltare super cælos, Deus.*

Quando nempe Christus, sanguine crucis suæ, in pace composuit ea quæ sunt in terra, et ea quæ in cœlis, ac super totum orbem resplenduit in ecclesiis gloria Dei, exaltata est super cœlos et super terram gloria Domini.

v. 8. *Deus locutus est in sancto suo.*

Dei res est sanctus.

v. 10. *Moab olla spei meæ; in Idumæam projiciam calceamentum meum, mihi alieni subjecti sunt.*

Salvatoris in persona sit qui ita loquitur, data Idumeæ interpretatione quæ est *terrena,* asseverabit super terram futurnm esse suum iter. Signum enim arcanum ambulationis est calceamentum. Rursus nudo gressu processit, creando et providendo; nunc vero cum carne quo accingitur, etiam illi calceamentum accedit. — Si princeps hujus mundi a Salvatore foras ejectus est, quanto magis ab eodem ejicientur inferiora dæmonia.

v. 13. *Da mihi auxilium a tribulatione, et vana salus hominum.*

Salus naturæ spiritualis, scientia est, unde benedicitur, quoniam «ab hominibus salus vana est?»

v. 6. Vat. 4, ubi scholiolum additur, editum apud Theodoretum col. 1379. Neque velim omittas, jam memorari ab Origene, uti sæpe alibi, ecclesias in toto orbe sparsas. cf. Col. 1, 20.

v. 8. Vat. 5.

v. 10. Vat. 4, 5. Scholium respexit Didymus, aliisque verbis expressit. Prior codex multo plura obtulit, quæ tamen, uti jam apud Corderium III, 210, data Didymo, quin immo Eusebio et Pseudo Chrysostomo apud Montefalconium, tam ægre expunxi, ut temperare nequeam quin nonnulla latine subdantur: "Scio me audivisse sermonem in arcano traditum (λόγον ἐν ἀποῤῥήτῳ) a quodam Hebraeo, ad hæc loca: mystice enim dicebat, per proposita declarari generationem Christi secundum carnem, ex genere Moab assumptam per Ruth Moabitidem, ex qua etiam David rex genitus est: ex cujus semine secundum carnem oriundus est Christus Dei." cf. Joan. XII, 33. Aliud succurrit ex nostris *Analectis,* non silendum. In clave Melitoniana si quid nonnullis rugosam sannam ciet, erit fortasse ultima cap. II formula, quæ adjectitia facile haberetur, p. 12, n. 31: *Calciamenta Domini, mysterium incarnationis. In evangelio: Cujus non sum dignus* etc. Ecce illud consentaneum esse Hebræorum ἀῤῥήτοις traditionibus, nunc declaratur.

Psalmus CVIII.

v. 3. Καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν.

Λόγους μίσους ὠνόμασεν, ἤτοι τοὺς ἀπὸ μίσους προσφερομένους, ἢ τοὺς μισητοὺς ἡμᾶς ποιοῦντας παρὰ Θεῷ.

v. 4. Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην.

Ἐντεῦθεν γινώσκομεν ὅτι, τινὸς κατηγορουμένου ἡμᾶς, δεῖ προσεύχεσθαι ὑπὲρ τῶν ἐχθρῶν, ἵνα μήποτε μνησικακίᾳ περιπεσόντες, ἐκκρουσθῶμεν ἀπὸ τῆς γνώσεως.

v. 7. Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.

Ὅταν αἰτῶμεν ἐπίγεια, καὶ οὐκ ἐπουράνια, ἡ προσευχὴ ἡμῶν γίνεται εἰς ἁμαρτίαν.

v. 8. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι.

Αἱ ὑπὸ τοῦ νοητοῦ ἡλίου τῆς δικαιοσύνης γινόμεναι [οὐκ εἰσὶν ὀλίγαι]· περὶ γὰρ τοῦ Ἀβραὰμ ἔχει ὅτι ἀπέθανε πλήρης ἡμερῶν.

Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.

Τὸ περὶ τοῦ Ματθία φησίν· αὐτὸς γὰρ ἐλογίσθη εἰς τὸν κλῆρον. Τοῦτον τὸν στίχον ἐπὶ τοῦ Ἰούδα ὁ Πέτρος τέθεικεν ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων.

v. 9, 10. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα· ἐκβλήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

Ἔστιν ἔτι τῷ ῥητῷ καὶ οὕτως χρήσασθαι, ὅτι πᾶς ὁ διδάσκων, ὡς Ἰησοῦ τὰ ἀλλότρια αὐτοῦ, προδίδουσι τὸν Ἰησοῦν ὡς ὁ Ἰούδας· οὗ γυνὴ μὲν ἡ τῶν πονηρευομένων ἐν τοῖς λόγοις αὐτοῦ ἐκκλησία, τέκνα δὲ ὁ καθ' ἕνα τῶν μαθητευομένων. Τὰ οὖν λεγόμενα περὶ γυναικὸς Ἰούδα καὶ τέκνων, τούτοις ἐφαρμώσεις. Ἰούδας μὲν ὁ κατὰ Ἰησοῦ παρὰ Ἰουδαίοις λόγος, γυνὴ δὲ ἡ συναγωγή, τέκνα δὲ ὁ καθεὶς ἐκ τῶν μισούντων Ἰησοῦν τοῦ λαοῦ. Καὶ τάχα νῦν ἐπώνυμοί εἰσιν, οὐκέτι τοῦ

v. 3. *Et sermonibus odii circumdede*
me.

Sermones odii nuncupavit, quos v
licet odium profert, aut eos qui Deo
odibiles reddunt.

v. 4. *Pro eo ut me diligerent, detr*
bant mihi, ego autem orabam.

Inde docemur, si quis nos accusa
portere pro inimicis orare, ne unqu
aspera injuriarum memoria abrepti,
cutiamur a scientia.

v. 7. *Et oratio ejus fiat in peccatu*

Quando petimus terrestria, non v
cœlestia, oratio nostra fit in peccatu

v. 8. *Fiant dies ejus pauci.*

Non *pauci* sunt dies sub spirituali
justitiæ transacti. De Abraham au
habetur quod obiit plenus dierum.

v. 8. *Et episcopatum ejus accipiat a*

Illud de Matthia ait: « Hic comput
est in sortem » : hunc ipsum versicu
de Juda Petrus apposuit in Actibu
postolorum.

v. 9; 10. *Fiant filii ejus orphani, e*
xor ejus vidua, expellantur ex habit
nibus eorum.

Licet etiam hunc effatum in eo se
usurpare, scilicet ut quicumque d
uti verba Jesu ea quæ illi aliena s
Jesu traditor est, uti Judas: cujus u
quidem sit conventus eorum qui n
gnati sunt in verbo ejus; filii autem,
guli eorum qui ejus discipuli sunt.
ergo quæ dicuntur de Judæ uxore e
liis, ad hosce adulteros aptabis. Ete
Judas est sermo Judæorum adversus
sum, mulier autem synagoga, tum

Ps. cviii. v. 3. Vat. 4, 5.
v. 4. Vat. 5.

v. 7, 8. Vat. 4. cf. Act. Ap. 1, 15.
v. 9, 10. Vat. 4.

πατριάρχου Ἰούδα, ἀλλὰ τοῦ προδότου. Ἐξεβλήθησαν δὲ Ἰουδαῖοι ἐκ τῶν οἰκοπέδων αὐτῶν, ἅτινα ἦν Ἱερουσαλήμ.

v. 11. Ἐξερευνησάτω δανειστὴν πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.

Οἱ τὰ ὀκτὼ τάλαντα εἰληφότες, ὁ μὲν πέντε, ὁ δὲ δύο, ὁ δὲ ἕν, καὶ οἱ μίαν μνᾶν πεπιστευμένοι, ἐπὶ τῷ δανείζειν ταῦτα εἰλήφασιν, ὡς δῆλον ἐκ τοῦ· Ἔδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἑξῆς. ἀλλὰ καὶ ὁ δίκαιος ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει, καὶ ἐν ἐπαγγελίᾳ λέγεται· Δανείζει ἐν ἔθνεσι πολλοῖς. Κατὰ δὲ ταῦτα ζητήσεις, εἰ τῶν μὴ ἀποδιδόντων ἃ ἐδάνεισαν τό· ἐξερευνᾷ ὁ δανειστὴς πάντα τὰ ὑπάρχοντα αὐτῷ.

v. 12. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.

Μηδεὶς ἐλεήσῃ τὰ ἐκ τῶν ἐπισπειρομένων ζηζανίων γεννήματα. Εἴ τις ἐξετάζοι ἃ πεπόνθασιν οἱ Ἰουδαῖοι μετὰ τὴν παρουσίαν Χριστοῦ, ὄψεται πῶς τῷ Ἰούδᾳ οὐχ ὑπῆρξεν ἀντιλήπτωρ, οὐδὲ ἐγεννήθη οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.

v. 14. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.

Πατέρας αὐτῶν καλεῖ τοὺς κατὰ διαφόρους καιροὺς δυσσεβήσαντας· μητέρα δὲ, τὴν Ἱερουσαλὴμ, ἐν ᾗ τῆς κατὰ τοῦ δεσπότου Χριστοῦ μιαιφονίας ἐτολμήθη τὸ μῦσος. — Ἢ αὐτοῦ τοῦ λαοῦ [ἡ ἀνομία]· συνάπτει γὰρ τῷ προδότῃ τὸν παράνομον λαὸν, καὶ ἁμαρτίαν τῶν πατέρων φησὶ τὸ ἀποκτεῖναι τοὺς προφήτας, κατὰ τὸ εἰρημένον ἀπὸ Κυρίου, ὅτι πᾶν αἷμα δίκαιον ἐκχυθὲν ἀπὸ

v. 11. Vat. 4. cf. Matth. xxv, 13-16. Luc. xix, 13. Ps. xxxvi, 26. Deuter xxviii, 12.

singuli in populo Jesum odio habentes. Quin imo forte jam eponymi sunt, non a Juda patriarcha, sed a proditore oriundi. *Ejecti* porro fuere Judæi ex habitaculis suis quæ Jerusalem erant.

v. 11. *Scrutetur fœnerator omnem substantiam ejus, et diripiant alieni labores ejus.*

Homines qui octo talenta receperunt, unus quinque, alter duo, tertius unum, et illi qui mnam unam in mutuum habuerunt, has copias ad negotiandum acceperunt, ut patefit ex hoc: « Oportebat te mittere argentum ad nummularios, etc.» Sed et « justus tota die miseretur et commodat » et in promissione dicitur: « Fœnerabit in multis gentibus. » His præmissis, quæres utrum ad ea quæ in fœnore data sunt, nec restituuntur, respiciat illud: « *Scrutatur fœnerator omnem substantiam ejus.* »

v. 12. *Non sit illi adjutor, nec reperiatur qui misereatur pupillis ejus.*

Neminem misereat fruticum ex zizaniis suprasparsis pullulantium. Expendenti qualia Judæi, Christi post adventum, perpessi sint, obvium erit quomodo nec Judæ fuerit adjutor, neque opitulator pupillorum ejus.

v. 14. *In memoriam redeat iniquitas patrum ejus in conspectu Domini, et peccatum matris ejus non deleatur.*

Patres eorum vocat impios, per varia tempora grassantes; matrem vero, illam Hierusalem, in qua ausum est portentum execrandum occidendi Christum Dominum. — Vel intelligit iniquitatem illius populi. Confert enim cum proditore scelestam plebem, patrumque recolit impietatem in nece prophetarum, juxta Domini maledictum, omnem sanguinem ju-

v. 14, 45 Vat. 4. cf. Theodoretum et Athanasium.

τοῦ Ἄβελ ἕως Ζαχαρίου τοῦ προφήτου ἐκδικηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. Μητέρα δὲ τοῦ ἀσεβοῦς λαοῦ τὴν πονηρὰν ἐκείνην νοήσεις συναγωγὴν, τὴν πολλάκις παραπικράνασαν τὸν Θεόν. — Πατέρων ἀρετὴ πολλάκις καὶ πλημμελήσαντας ὠνήσει παῖδας, ὡς τοὺς Ἰουδαίους τοῦ Ἀβραὰμ ἡ πίστις· πονηρία δὲ πατέρων τοῖς ὁμοίοις παισὶν ἐπάξει τὴν τιμωρίαν. Τοῦτο τοίνυν αἰνίττεται ὁ προφητικὸς λόγος, ὅτι οἱ Ἰουδαῖοι τὴν πανολεθρίαν ὑπομείναντες πρὸς ταῖς οἰκείαις ἀσεβείαις, καὶ τῇ μνήμῃ τῶν πατρῴων κακῶν φανήσονται βδελυρότεροι.

v. 15. Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντὸς, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἀντὶ τοῦ· Ταῦτα, φησὶ, τὰ ὑπ᾽ αὐτῶν τολμήματα παράνομα ἀεὶ θεώμενος ὁ Θεὸς, οὐδεμίας αὐτοὺς ἀξιώσει φείδους, ἀλλὰ πανολεθρίᾳ παραδώσει· ἐξολοθρεύθη γὰρ ἐκ γῆς τὸ μνημόσυνον τῶν ἀρχόντων ἐκείνων, τῶν κατὰ τοῦ Κυρίου συστάντων, ὡς μηδὲ σπέρμα αὐτῶν εἰς μνημόσυνον μεῖναι.

v. 17. Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ᾽ αὐτοῦ.

Εἰ τῷ ἀγαπῶντι τὴν κατάραν ἔρχεται ἡ κατάρα, δηλονότι καὶ τῷ ἀγαπῶντι τὴν ἐνλογίαν, ἔρχεται ἡ εὐλογία. — Καὶ πάλιν, εἰ τῷ μὴ θέλοντι τὴν κατάραν, οὐκ ἔρχεται ἡ εὐλογία, καὶ τῷ μὴ θέλοντι τὴν καταρὰν, οὐκ ἔρχεται ἡ κατάρα. Καὶ τίς θέλει ἐλθεῖν αὐτῷ κατάραν; Οὐδεὶς μὲν τῷ λόγῳ, πλὴν δὲ δι᾽ ὧν πράττουσι, θέλουσι τὴν κατάραν. Εἰ γὰρ καὶ μὴ ἔθελον, οὐκ ἄν τι τῶν κατάρας ἀξίων κατειργάσαιντο. Καὶ ὡσαύτως καὶ ἐπὶ τοῦ θέλειν τὴν εὐλογίαν νοητέον· οὐ γὰρ ὁ λόγῳ θέλων τὴν εὐλογίαν, οὗτος εὐλογεῖται, ἀλλ᾽ ὁ παρέχων ἑαυτὸν ἄξιον τῆς εὐλογίας Κυρίῳ δι᾽ ἔργων ἀγαθῶν.

v. 19. Καὶ ἐνεδύσατο κατάραν, ὡς ἱμάτιον.

stum ab Abel usque ad **Zachariam** phetam ulciscendum esse in **hac** g ratione. Porro matrem impii **populi** improbam illam esse synagogam, sæpissime Deum exacerbavit. — **Pat** virtus multoties profuit nefariis qu filiis, sicut Judæis Abrahæ fides. In bitas autem patrum similibus pos invehet castigationem. Atqui prop cus sermo hoc monet, Judæos, int cionem excidii quum sustinuerin propriis sceleribus, impietate apert peravisse vel memorata patrum flag

v. 15. *Fiant contra Dominum sem et dispereat de terra memoria eorum.*

Ac si dixerit: tanta quæ ausi s tamque nefanda semper contempl Deus, nulla eos venia dignos cens sed ad excidium usque pessum d Deletum prorsus a terra est monii tum horum principum, qui adver Christum astiterunt, ut neque etia memoria supersit eorum semen.

v. 17. *Et dilexit maledictionem, e niet ei; et noluit benedictionem, et gabitur ab eo.*

Si diligenti maledictionem, anath venit, proinde amanti benedictio benedictio occurrit. — Et iterum s eum qui non vult benedictionem, venit benedictio, ita ad nolentem m dictionem, maledictio non accedit. Ec vult ad eum venire anathema? N sane ex verbo, verum multi per i volunt maledictionem. Si enim a vellent, minime eniterentur in ea maledicto digna sunt. Ac similiter tiendum de illo qui vult benedictio benedicetur, sed qui se per bona o præstat dignum Domino benedici.

v. 19. *Et induit maledictionem sicu stimentum.*

v. 17. Vat. 5.

v. 19. Vat. 16. In fine cod. inepte miscet et pluries ἐνδύσιν una cum ἐκδύσιν. Cf. Rom. 14. Gal. III. 27. Ephes. IV, 24.

Εἰ ἐνδύονται κατάραν, ὡς ἱμάτιον, οἱ λαλοῦντες πονηρὰ κατὰ τῆς ψυχῆς τοῦ Σωτῆρος, οἱ δὲ αἱρετικοί εἰσιν οἱ λαλοῦντες πονηρὰ κατὰ τῆς ψυχῆς τοῦ Χριστοῦ, ἀναιροῦντες αὐτὸν, ἄρα ἐνδύσονται κατ άραν, ὡς ἱμάτιον, καὶ διπλοΐδα αἰσχύνην αὐτῶν. — Ὥσπερ τοὺς Χριστὸν ἐνδυσαμένους διὰ τῶν κακῶν ἐκδύει ὁ Σατανᾶς, οὕτως καὶ τοὺς κατάραν ἐκδυσαμένους διὰ τῶν ἀρετῶν ἐνδύει ὁ Χριστός.

Si induunt maledictionem, sicut vestimentum, qui loquuntur prava adversus animam Salvatoris, et si hæretici sunt qui prava in animam Christi dicunt, destruentes eum, iidem ergo induent maledictionem sicut vestimentum, et sicut diploida confusionem suam. — Quemadmodum qui Christum induerunt, Satanas eos per pessima opera exuit, ita et qui maledictionem exuerunt, eos Christus per virtutes vestit.

v. 22. Καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

Εἰ καὶ τετάρακταί μου ἡ καρδία, ἀλλ' οὐχ ὥστε μου καὶ ἔξωθεν φθάσαι τὴν ταραχὴν αὐτῆς ἐπὶ λόγον ἢ πρᾶξίν μου· τοιοῦτόν ἐστιν καὶ τό· Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη.

v. 22. *Et cor meum conturbatum est intra me.*

Etiamsi turbatum sit cor meum, haud tamen ita ut hæc mea extra me turbatio erumpat in verba aut actus meos: simile est illud: « Ad me ipsum anima mea turbata est. »

23, 24. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν, ἀντανηρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας.

Τὸ σφοδρὸν τῆς ἐπιβουλῆς τῶν ἀδικησάντων λέγει, τὴν κακουχίαν τὴν ἄφατον, καὶ τὴν παρ' ἑαυτοῦ πάλιν γενομένην ἐν τοῖς τοιούτοις σπουδήν. Τὰ γόνατά μου, φησὶν, ἠσθένησαν ἀπὸ νηστείας. Ὁρᾷς αὐτὸν οἷα κατασκευάζει ὅπλα πρὸς τὰς ἐπιβουλὰς καὶ πρὸς τὴν τοῦ αὐχμοῦ κακουχίαν, διὰ τούτων τὸν θάνατον παρεδήλωσε· σκιᾷ γάρ, φησί, κλιθείσῃ καὶ ἀναιρεθείσῃ, παραπλησίως ἐδεξάμην τοῦ βίου τὸ τέλος· ἀλλὰ καὶ δίκην ἀκρίδων ὑπὸ ἀνέμων ῥιπτομένων. καὶ τῇδε κἀκεῖσε περιφερομένων, ἀεὶ διετέλεσα. — Ἀπὸ νηστείας, ὅτε τεσσαράκοντα ἡμέραις ἐνήστησε καὶ τεσσαράκοντα νυξί.

v. 23, 24. *Sicut umbra cum declinat, ablatus sum, excussus sum ut locustæ; genua mea infirmata sunt a jejunio.*

Vehementiam insidiarum ab adversariis asserit, dictu incredibilem nequitiam, ac simul inter hæc suam sollicitudinem. *Genua mea,* inquit, *infirmata sunt a jejunio.* Intueris eum, qualia sibi arma comparet adversus insidias et contra molestam vim turbinis, per quæ mortem designavit. Umbræ enim instar, ait, quæ inclinatur et evanuit, similiter vitæ finem obivi, immo et sicut jactatæ locustæ et huc illuc vento dissipatæ, ita semper vixi. — *A jejunio infirmata sunt,* qunado per quadraginta dies et quadraginta noctes jejunavit.

v. 25. Εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.

Τοῦτο γέγονε κατὰ τὸν καιρὸν τοῦ σταυροῦ· ἐκίνουν γὰρ οἱ Ἰουδαῖοι τὰς κεφαλὰς αὐτῶν λέγοντες· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι.

v. 25. *Viderunt me, moverunt capita sua.*

Quod accidit in tempore crucis. Movebant enim Judæi capita, dicentes: « Alios salvos fecit, semet salvum facere non potest. »

v. 22. Vat. 4. Ps. vi, 4. Vix non respicit Apollinaristas scholium v. 27, f. non genuinum.

v. 23, 24. Vat. 4. cf. Matth. iv, 5,
v. 25. Ibid. cf. Theodoret. Matth. xxvii, 42.

v. 29-31. Ἐνδυσάσθωσαν οἱ ἐν διαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν· ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Ἐντροπὴν ἐνδύονται οἱ ἐνδιαβάλλοντες τὸν δίκαιον. — Ὁ μὲν Σαμουὴλ ἐνδύεται διπλοΐδα, ἣν πεποίηκεν αὐτῷ ἡ ἄνω Ἱερουσαλὴμ, ἥτις ἐστὶ μήτηρ ἡμῶν· οἱ δὲ ἁμαρτωλοὶ ἐνδύονται διπλοΐδα αἰσχύνην αὐτῶν. — Ἡ ἐξομολόγησις τὴν εὐχαριστίαν σημαίνει, ἣν ποιεῖται διὰ τῶν εἰς αὐτὸν πιστευόντων ἐθνῶν· κεφαλὴ γὰρ τῆς ἐκκλησίας τυγχάνων, τὸν αὐτῆς οἰκειοῦται ὕμνον. — Παρέστη δὲ Πατὴρ ἐκ δεξιῶν Υἱοῦ τοῦ πτωχεύσαντος, ἀχώριστον τὴν οἰκίαν ποιησαμένου, διὰ τὴν τοῦ Υἱοῦ πρὸς τὴν ἀνθρωπότητα ἕνωσιν, κἂν συνεχώρει τὸ πάθος, ἐπειδὴ δι' αὐτοῦ τὸ τοῦ κόσμου σωτήριον γίνεσθαι ἔμελλεν. Ἀντὶ δὲ τούτων ἁπάντων ἀμοιβὰς ἀνατίθεται τῷ Θεῷ, τὴν ὑμνολογίαν, τὴν εὐχαριστίαν, τὸ παράπασιν ἀπαγγέλλειν αὐτοῦ τὰ κατορθώματα, τὸ ἐν μέσῳ θεάτρῳ κήρυκα γενέσθαι τῶν αὐτῷ ὑπαρξόντων. Τοῦτο γὰρ θυσία, τοῦτο προσφορὰ, τὸ τὰς εὐεργεσίας τοῦ Θεοῦ διὰ παντὸς ἐπὶ μνήμης φέρειν καὶ ἐγκολάπτειν τῇ διανοίᾳ, καὶ ἐπὶ στόματος ἀνακηρύττειν. — Εἴ τίς ἐστι δεξιὸς, οὗτος πάντως καὶ ἐν δεξιᾷ παρίσταται τῷ δικαίῳ· εἰ δέ τις ἐν δεξιᾷ παρίσταταί τινι, οὗτος οὐ πάντως ἐστὶ καὶ δεξιός· καὶ γάρ· Ὁ διάβολος, φησί, στήτω ἐκ δεξιῶν αὐτοῦ.

v. 29, 31 *Induantur pudore qu hunt miki, et operiantur sicut confusione sua. Confitebor Domi in ore meo, et in medio multorum eum, quia astitit a dextris pau salvam faceret a persequentibus meam.*

Confusione induuntur qui de justo. — Equidem Samuel ves diploïde, quam illi fecit supern salem, quæ est mater nostra. A tores circumcingunt pro diploï miniam suam. — Confessio si gratiarum actionem, quam (C exigit pro gentibus in se credenti put enim quum sit Ecclesiæ, e proprium vindicat hymnum. — autem Pater a dextris Filii, qui factus, inseparabilem apud Patr sionem tenuit, tametsi propter suam cum humanitate, pati eon quoniam per passionem oporte salutem hominum. Pro omnibus l neficiis Deo condignas rependit hanc hymnologiam, hoc carmen risticum; ut omnibus enuntiet su pla insignia, et fiat medio in orbis eorum omnium præco, quotquc runt. Hæc est enim victima, hæ agere semper memoriam bene Dei, et eam cogitationi insculpere ore proclamare. — Si quis dexte mnino ille stat a dextris justi: in alicujus dexteram assurgit, il me dexter est. Etenim dicitur: lus stet a dextris ejus. »

v. 29-31. Vat. 5. 1 Reg. II, 18, 19. Galat. IV, 26. Ps. CVIII, 6. Amanuensis Vat. 5. psalmi versiculos truncavit, tantum post ἐπη dens: ἐπὶ τοῦ τέλους τοῦ ψαλμοῦ.

Psalmus CIX.

v. 1-6. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. – Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν, κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. — Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν τοῖς λαμπρότησι τῶν ἁγίων σου, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. — Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. — Κύριος ἐκ δεξιῶν σου, συνέθλασε ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. — Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.

Χάριτι Θεοῦ αὐτοῦ μὲν ἀκούει ὁ προφήτης ἃ εἶπε Χριστῷ, ἐν τοῖς πρώτοις δύο στίχοις καὶ τοῖς μετὰ τὸν τρίτον τέτταρσι· κινούμενος δὲ ὑπὸ τοῦ ἁγίου Πνεύματος, λέγει τὰ ἐκ προσώπου αὐτοῦ τρία στιχία τοῖς μετὰ τὸν ἕβδομον. Εἰς τὸν Κύριον ἡμῶν καὶ Θεὸν τὸν Χριστὸν εἴρηται, τὸν μονογενῆ καὶ πρωτότοκον· πρωτότοκον μὲν κατὰ τὴν σάρκα, μονογενῆ δὲ κατὰ τὴν θεότητα· εἷς γὰρ σὺν ἀμφοτέροις καὶ Υἱὸς καὶ Κύριος. Ἐπιτρέπεται δὲ καθίσαι οὐχ ὡς μονογενὴς, κατὰ τοῦτο γὰρ συναΐδιος, ἀλλὰ ὡς πρωτότοκος καὶ κληρονόμος. Δηλωθέντος γὰρ διὰ τοῦ προλαβόντος ψαλμοῦ τοῦ πάθους, νῦν τὰ μετὰ τὴν ἀνάληψιν ὁ παρὼν προθεσπίζει.

v. 1-6. *Dixit Dominus Domino meo: Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. Virgam virtutis tuæ emittet tibi Dominus ex Sion. Dominare in medio inimicorum tuorum. Tecum principium in die virtutis tuæ in splendoribus sanctorum tuorum. Ex utero ante luciferum genui te. Juravit Dominus, et non pœnitebit eum: Tu es sacerdos in æternum secundum ordinem Melchisedech. Dominus a dextris tuis: confregit in die iræ suæ reges. Judicabit in nationibus, implebit ruinas, conquassabit capita in terra multorum.*

Ex gratia quidem a Deo ipsi concessa, propheta audit quænam Deus dixerit Christo, in duobus versiculis prioribus et in quatuor post tertium sequentibus. Motus autem a Spiritu sancto, ex ejus persona dicit tres versus qui septimnm excipiunt. Dicuntur respectu ad Dominum nostrum et Deum Christum, unigenitum et primogenitum; primogenitum quidem secundum carnem, unigenitum vero secundum divinitatem; unum porro in utrisque, et Filium et Dominum. Jubetur autem sedere, non tamquam unigenitus; nam secundum hoc, coæternus est: sed ut primogenitus et hæres. Quum enim in præcedente psalmo passio declarata fuerit, nunc mysteria post ascensionem præsens psalmus vaticinatur.

Ps. CIX. v. 1-6. Vat. 4. Macte, Adamantine! Quod non dicere videor ego, nec plaudere solus, sed Theodoretus, sed Heracleotes, sed alii, etiam veteres quoque anonymi, quot et qualescumque demum grandem illam theologiam passibus haud semper æquis secuti sunt. Equidem vetus anonymus corrasit verba: εἰς τὸν Κύριον... ἠγνόουν. Theodorus vero Heracleotes verba fere retinuit: μετέδωκε δὲ usque ad οὐκ ἔμελλεν ἔσεσθαι. Theodoretus autem tum eamdem seriem, nunc paraphrasi diffusam, nunc compendio contractam, tum cum anonymo alterum locum: οὐκ ἐκβαλλων usque ad ἠγνόουν. — Rei metricæ Hebræorum studiosi quærent decem στίχια sigillatim a solo Origene minutatim distincta; totum enim procemium alibi non comparet. Neque etiam licuit στίχους discernere juxta codicem B Vaticanum. Psalmus enim incidit in grandem lacunam de qua mox indolui. cf. Exod. III, 14. III Reg. XXII, 19. Matrh. XX, 22, 23.

Τοῦτο καὶ Πέτρος εἰς τὸν Κύριον ἐξελάβετο, καὶ αὐτὸς ὁ Σωτὴρ, οὐκ ἐκβάλλων τὸ εἶναι υἱὸν τοῦ Δαυὶδ τὸν Χριστὸν, ἀλλὰ τῷ ὁμολογουμένῳ τὸ ἀγνοούμενον προστιθείς· (Τὸ μὲν γὰρ εἶναι υἱὸν τοῦ Δαυὶδ τὸν Χριστὸν οἱ Φαρισαῖοι ἐγίνωσκον, ὅτι δὲ κύριος ἦν τοῦ Δαυὶδ ἠγνόουν). Κάθου ἐκ δεξιῶν μου, ἀντὶ τοῦ· μετέδωκε τῷ Κυρίῳ μου ὁ Κύριος τῆς ἐκ δεξιῶν καθέδρας, μετέδωκε δὲ διὰ τὴν σάρκα, τὴν μὴ ἔχουσαν τοῦτο πρὸ τούτου, οὐ διὰ τὴν θεότητα, τὴν ἐκ φύσεως τοῦτο κεκτημένην. Οὐδεὶς γὰρ τῷ ἔχοντι δίδωσι ἃ ἔχει· καὶ Ἰουδαίων γὰρ ψιλὸν ἄνθρωπον αὐτὸν ὑπολαμβανόντων, ὡς ἐκ Δαυὶδ ἔδειξεν, αὐτὸς Κύριος ὢν διὰ τὴν θεότητα ἐν εὐαγγελίοις.

Τὸ δέ ἕως ἂν θῶ, οὐ κατὰ περιορισμὸν, ἀλλὰ κατὰ περιουσίαν λέγει, οὐ δὲ γὰρ ἕως τότε κάθηται, ἕως τεθῶσιν οἱ ἐχθροὶ ὑποκάτω, μετὰ δὲ τοῦτο τῆς τιμῆς ἐξίσταται· ἔδει γὰρ αὐτὸν μᾶλλον, τοῦ πολέμου ἐνεστῶτος, ἵστασθαι καὶ ἀγωνιᾶν, ἵνα καὶ ἀνθρωπίνως εἴπω, μετὰ δὲ τὴν νίκην κατῆσθαι. Ἀλλ' ὅπερ εἶπον, κατὰ περιουσίαν τοῦτο καὶ ἐπίτασιν λέγει, ὡς τό· Ἐγώ εἰμι, καὶ ἕως οὗ γηράσητε, ἐγώ εἰμι· οὐ γὰρ μετὰ τὸ γηρᾶσαι Ἰουδαίους, οὐκ ἔμελλεν ἔσεσθαι.

Εἰς τό· ἐκ δεξιῶν μου, ἐπεὶ ἔστι τι καὶ ἐξ εὐωνύμων τοῦ Θεοῦ, παραθησόμεθα ἐκ τῆς τρίτης τῶν βασιλειῶν ταῦτα· Εἶδεν Θεὸν Ἰσραὴλ καθήμενον ἐπὶ θρόνον αὐτοῦ, καὶ πᾶσα ἡ στρατειὰ τοῦ οὐρανοῦ εἱστήκει περὶ αὐτὸν ἐξ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν. Ἴδε εἰ δύναται τό· Κάθου ἐξ δεξιῶν μου εἰρῆσθαι, ὡς τό· Οὐχ οἴδατε τί αἰτεῖσθε. Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν τοῦτο δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός μου. Εἴρηται δὲ τοῦτο, οὐχ ὅτι ὁ Θεὸς ἔχει δεξιὰ καὶ ἀριστε-ρὰ, ὁ ἀσχημάτιστος καὶ πάντα πληρῶν.

Idem quoque Petrus ad Domin scripserat et Salvator ipse, dum n cluderet Christum esse filium D sed sententiæ quam confitebantu ciens quod ignotum erat, (illud na Christum esse Davidis filium, Ph agnoscebant, sed eum esse Domin vidis, ignorabant) ait: *Sede a d meis,* in horum loco: Dominus Dom meum participem fecit sedis a de fecit autem participem secundu nem, quæ id non habebat antea; n ro secundum divinitatem, quæ p turam idipsum consequebatur. Ne nim habenti dat id quod habet. E Judæi simplicem eum hominem supponerent, ut Davidis filium, os in evangeliis, se Dominum esse s dum divinitatem.

Illud autem *donec ponam,* vin habet limitis definiti, sed in pe potestate dicitur. Haud enim ait dum eum sedere, donec ponantur ci subtus, quo consecuto, excide honore: immo decebat eum, dum men instaret, sistere, et in campo (ut more hominum loquar), et post riam sedere. Sed quod jam dixi, ju testatis et perpetuæ possessionis h dicat, ut ibi: « Ego sum, et donec ritis, ego sum. » Neque enim ut n set post senium judaïcum, fieri fa

Ad hæc: *A dextris meis,* quum stris Dei aliquid sit, proponemus Regum sequentia: « Israel vidit sedentem in throno suo, et omnis e tus cœli stabat in circuitu ejus, a d ejus et a sinistris. » Vide utrum hoc possit: *Sede a dextris meis,* si lud: « Nescitis quid petatis. Sedere ad dexteram meam non est meun vobis, sed quibus paratum est a meo. » Ita autem dictum est, non Deus habeat dexteras aut sinistras, extra figuram est et universa com

Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· ἐχθρὸς διαφερόντως μέν ἐστιν ὁ διάβολος καὶ οἱ τούτου διάκονοι δαίμονες, πρὸς δὲ τούτοις καὶ οἱ τοῖς θείοις αὐτοῦ κηρύγμασιν ἀντιπίπτοντες, Ἰουδαῖοι καὶ Ἕλληνες. Τὸ δὲ ἕως οὐ χρόνου σημαντικὸν, ἀλλ' ἰδίωμα τῆς γραφῆς ἐπὶ τοῦ ἀδιαλείπτως ἀεὶ τίθεσθαι.

v. 7. Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ζητήσεις τὸν ἐκ χειμάῤῥου ἐν ὁδῷ πίνοντα Κύριον, καὶ διὰ τὸ πίνειν ἐκ χειμάῤῥου ἐν ὁδῷ ὑψοῦντα τὴν κεφαλὴν, οἶμαι, ἐκείνου ἀφ' οὗ ἐκ χειμάῤῥου ὄντως πίνει. — Εἰ διὰ τοῦτο ὑψώσει τὴν κεφαλὴν αὐτοῦ ὁ Χριστὸς, ἐπειδὴ ἐκ τοῦ χειμάῤῥου τοῦ ἐν τῇ ὁδῷ ἔπιεν ὕδωρ, τάχα ὁ χείμαῤῥος τὸν ἐν τῷ βίῳ τούτῳ θάνατον αὐτοῦ σημαίνει, ὃν ἐν εὐαγγελίοις ποτήριον ὀνομάζει· Πάτερ, λέγων, εἰ δυνατόν ἐστι, παρελθέτω τὸ ποτήριον τοῦτο. Καὶ πάλιν· Ὅταν ὑψωθῶ, φησὶν ὁ Σωτὴρ, ἑλκύσω πάντα πρὸς ἐμαυτόν.

Donec ponam inimicos tuos scabellum pedum tuorum. Inimicus per autonomasin Diabolus est, ejusque ministri dæmones; post hos autem illi etiam qui divinis ejus præconiis obsistunt, Judæi et Græci. Hoc vero adjunctum *donec* non est temporis indicium, sed solemnis dictio Scripturæ, ut ævum perpetuum statuat.

v. 7. *De torrente in via bibet, propterea exaltabit caput.*

Inquires quid sit, Dominum de torrente bibere, et cur eo quod biberit ex torrente in via, exaltet caput suum, ex eo, opinor, quod re vera de torrente bibit. — Si propterea caput suum Christus exaltaverit, quod biberit aquam in via ex torrente, fortasse torrens significat mortem suam in hac vita, quam in evangeliis calicem nuncupavit: « Pater, inquit, si possibile est, transeat calix iste.» Ac præterea: « Cum exaltatus fuero, inquit Salvator, omnia traham ad me ipsum. »

v. 7. Vat. 4. Luc. xxii, 39. Origeni, ut supra vidimes, is v. 7 decimus erat στίχος.

Psalmus CX.

v. 1. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.

Βουλὴ καὶ συναγωγὴ εὐθέων γενεά ἐστιν εὐθέων. Εἴποι δ' ἄν τις· Δός μοι βουλὴν εὐθέων, ἑκάστου τῶν ἐν τῇ βουλῇ ὄντος εὐθείᾳ, ὁμοίως καὶ συναγωγὴν, καὶ ἐξομολογήσομαι ἐν ὅλῃ καρδίᾳ αὐτοῖς. Ἔστιν ἅγιος, ἔστιν εὐθεῖα γραμμὴ, ἥτις ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς σημείοις κεῖται. Οὐκ ἐγὼ δὲ μόνος, ἀλλὰ καὶ σὺν ἐμοὶ τῶν εὐσεβῶν ὁ σύλλογος, κατ' ἐκεῖνον [εἶπον· Μεγάλα τὰ ἔργα Κυρίου], ἐξεζητημένα πάντα τὰ θελήματα αὐτοῦ.

v. 1. *Confitebor tibi, Domine, in toto corde meo, in concilio justorum et congregatione.*

Consilium et congregatio justorum, rectorum est generatio. Dixerit forte aliquis: Cedo mihi concilium rectorum quorum unusquisque sit in concilio justitiæ, ac similiter congregationem justorum, et confitebor illis in toto corde meo. Existit sanctus, existit recta linea, quae in punctis ex æquo super eam positis consistit. Neque ego solus, sed et mecum coetus piorum, per singulas voces [clamat: *Magna opera Domini*]: *exquisita in omnes voluntates ejus.*

Ps. cx, v. 1. Vat 4. Mutila sunt fortasse tam ultima scholii verba quam psalmi versiculus.

v. 3. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια, τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Εἰ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, οἱ δὲ δίκαιοι διὰ τὴν δικαιοσύνην ὀνομάζονται δίκαιοι, καὶ αὐτοὶ ἄρα μένουσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καλῶς οὖν καὶ ὁ Παῦλος εἶπεν· Ἡμεῖς δὲ πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

v. 10. Ἀρχὴ σοφίας φόβος Θεοῦ, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν.

Σύνεσις ἀγαθὴ δίδοται τοῖς ποιοῦσι δηλονότι τὴν ἀρχὴν τῆς σοφίας, ὥσπερ τῆς ὁδοῦ τῆς ἀγαθῆς· αὐτὴ δέ ἐστιν ἡ θεωρία τῆς ἀληθείας· ἀρχὴ τὸ ποιεῖν τὰ δίκαια ὑπάρχει· οὕτως ἀρχὴ καὶ εἰσαγωγὴ εἰς τὴν τοῦ Θεοῦ σοφίαν, οὐκ ἄλλην οὖσαν τῆς θεωρίας τῆς ἀληθείας, ὁ θεῖός ἐστι φόβος, ὁ αὐτὸς ὢν τοῖς πρακτικοῖς, δικαίοις ὀνομαζομένοις· ὅνπερ οὖν ἔχει λόγον τὸ ποιεῖν τὰ δίκαια πρὸς τὴν ὁδὸν, τοῦτον ὁ τοῦ Θεοῦ φόβος πρὸς τὴν σοφίαν.

v. 3. *Confessio et magnificenti ejus, et justitia ejus manet in sæcul culi.*

Si justitia ejus manet in sæcul culi, et si justi suo nomine propter tiam gaudent, ipsi ergo manen que in perpetuum ævum. Recte Paulus ait : « Nos semper cum D erimus. »

v. 10. *Initium sapientiæ timor ni, intellectus bonus omnibus faci eum.*

Intellectus bonus datur his ni qui operantur initium sapienti luti initium bonæ viæ, quæ ip contemplatio veritatis: initium est ea quae justa sunt. Similiter proa et aditus ad sapientiam Dei, qu non est quam contemplatio ve est timor Domini, idem qui perti facientes, ad eos qui justi nomin Ea igitur quæ intercedit ratio in cere justa et bonam esse viam, currit timorem inter et sapientian

v. 3. Vat. 5. II Thessal. IV, 16.

v. 10. Vat. 4, 5. Codd. habent ἔχει λό

Psalmus CXI.

v. 1. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Ἡ ὑπόθεσις τοῦ ρια' ψαλμοῦ ἐστιν αὕτη. Δι' ὅλου τοῦ ψαλμοῦ διδασκόμεθα τίνα πρόσεστι τοῖς φοβουμένοις τὸν Κύριον· εἴ τινι

v. 1. *Beatus vir qui timet Do in mandatis ejus cupit nimis.*

Hoc est psalmi CXI argumentu totum psalmum edocemur quænan tent ad timentes Dominum. Hæc

Ps. CXI. v. 1. Vat. 4. Hujus optimi codicis describere incœperam elegantem et prolixam paginam, vix non disertius quam alias nomine Origenis ornatam, sed sensim insonuit mihi clangor insolitus, stetique attonitus ad ψυχὴν φιλόσοφον, quasi ad tesseram Chrysostomi. Cucurri ad Montefalconium, qui aureos commentarios, haud sine largis lacunis collegit, et incidi in psalmum CXI, cum meo Vaticano, post pauca, consentaneum, nisi quod statim ab initio, præter omnem Oris aurei morem, erup dium in abruptum et pedestre scholiu Σφόδρα μοι δοκεῖ τῷ τέλει τοῦ πρὸ τούτου ἕπεσθαι τὸ προοίμιον, κτλ. et cætera qu recto amne fluunt, qnantum vis spars codicis nostri scholia, sed e variis div cohærentia. Quid ergo? Plura quæ de ram, oportuit me missa facere, ac futu tefalconio reliquum committere probl vendum Cf. Jac. I, 19. Ps. CX, 10.

οὐ πρόσεστι ταῦτα, οὐ φοβεῖται τὸν Κύριον. Φοβούμενος τὸν Κύριον, ἕως τοῦ σφόδρα, [ἰστέον] τῷ τέλει τοῦ πρὸ τούτου ψαλμοῦ ἕπεσθαι τὸ προοίμιον καὶ ὥσπερ ἓν σῶμα εἶναι συνεχὲς καὶ συνημμένον· ἐκεῖ μὲν γὰρ ἀρχὴ σοφίας, φησί, φόβος Θεοῦ· ἐνταῦθα δὲ, μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἑτέροις μὲν ῥήμασι, τοῖς αὐτοῖς δὲ νοήμασι παιδεύων τοῦ Θεοῦ τὸν φόβον. Ἐκεῖ μὲν γὰρ αὐτὸν σοφὸν ἔφη εἶναι, ἐνταῦθα δὲ μακάριον· τὸ δὲ ὄντως μακάριον τοῦτο, ὥστε γε ἄλλα πάντα ματαιότης τε καὶ σκιὰ καὶ ψιλὰ πράγματα, κἂν πλοῦτον εἴπῃς, κἂν δυναστείαν. Εἶτα ἐπειδὴ δαίμονες αὐτὸν δεδοίκασι, καὶ φρίττουσι, ἵνα μὴ νομίσῃς τοῦτο μόνον ἀρκεῖν εἰς σωτηρίαν, ὅπερ ἄνω πεποίηκε τοῦτο, καὶ ἐνταῦθα ποιεῖ. Καθάπερ γὰρ ἐκεῖ εἰπών· Ἀρχὴ σοφίας φόβος Κυρίου, ἐπήγαγε· Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν, τοῖς δόγμασι τὴν συμβαίνουσαν πολιτείαν ἀπαιτῶν· οὕτω καὶ ἐνταῦθα εἰπὼν τὸν φόβον, οὐκ ἐκεῖνον μόνον λέγει τὸν ἀπὸ τῆς γνώσεως, ὃν καὶ δαίμονες ἔχουσιν, ἀλλὰ καὶ τοῦτο προτίθησι λέγων· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Τοῦτο εἶπε, βίον ἀπαιτῶν καὶ πολιτείαν ἀκριβωμένην καὶ ψυχὴν φιλόσοφον.

cui non competunt, Dominum ille non timet. Prooemium: *Qui timet Dominum* usque ad *cupit nimis,* mihi videtur sequi finem praecedentis psalmi, et conflari velut corpus continuum et conjunctum. Illic enim ait: « Initium sapientiæ timor Domini, » hic vero: *Beatus vir qui timet Dominum,* aliis quidem verbis, sed iisdem sententiis docens Dei timorem: illic quippe eumdem dicit sapientem, hic vero beatum; hæc esse autem veram beatitudinem, ut cætera omnia sint vanitas et umbra et futilia negotia, opesve ea dicas, aut imperium. Deinde quandoquidem et dæmones fremunt et contremiscunt, ne tu opineris id solum esse satis ad salutem, quod superius fecit, nunc non omittit. Sicuti enim tunc dixit: *Principium sapientiæ, timor Domini,* subjunxit: *Intellectus bonus omnibus facientibus eum,* animi dogmatibus connectens vitæ institutum: ita et nunc timorem profatus, non eum dumtaxat asserit, quem et dæmones habent, sed hoc proponit, aiens: *In mandatis ejus cupit vehementer.* Quod pronuntiat respectu ad vitam et ad exactum vitæ genus atque ad animam philosophice studiosam.

v. 5. Χρηστὸς ἀνὴρ ὁ οἰκτίρμων καὶ κιχρῶν· οἰκονομήσει λόγους αὐτοῦ ἐν κρίσει.

Ὅτι τὸ δανεῖν ἐν ἔθνεσι πολλοῖς τροπολογεῖται εἰς λόγων κατασκευάσεις ἐκ τοῦ ἐπιφέρεσθαι τό· Χρηστὸς ἀνὴρ ὁ οἰκτίρμων καὶ κιχρῶν, καὶ τό· Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. — Χρηστέον τῷ ῥητῷ πρὸς τοὺς ἀπερισκέπτως ἐκφέροντας μυστήρια θείας γραφῆς ἀδιακρίτως. Καὶ γὰρ ὁ Παῦλός φησιν· Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς οἰκονόμους καὶ ὑπηρέτας μυστηρίων Θεοῦ.

v. 5. *Jucundus homo qui miseretur et commodat; disponet sermones suos in judicio.*

« Fœnerari in gentibus multis, » moraliter intelligitur de sermonum ministerio, quum id proferatur: *Jucundus homo qui meseretur et commodat,* et illud: *Disponet sermones suos in judicio.*

Quo verbo utendum est cum iis qui sine cautela proferunt indiscrete mysteria sacræ Scripturæ. Etenim Paulus ait: « Sic nos existimet homo, ut dispensatores et ministros mysteriorum Dei ».

v. 7, 8. Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσε-

v. 7, 8. *Ab auditione mala non timebit.*

v. 5. Vat. 4, 5 1 Cor. IV, 1. cf. Deuter. XV, 6.

v. 7, 8. Vat. 4. Cohæret Field. II, 268.

ται, ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον· ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.

Πονηρὰ ἀκοή, τῶν ἑτεροδόξων εἴη ἂν διδασκαλία, ἀφ' ἧς οὐ φοβηθήσεται ὁ ἐπιστήμων καὶ ἐπιστημόνως φοβούμενος Κύριον. — Οὔτε ἀπειλὰς θείσει, οὔτε ἀγγελία φόβον ἱκανὸν ἐμποιήσει. Ὁ δὲ Σύμμαχος οὕτως εἴρηκεν τὴν ἑτοίμην ἑδραίαν. Βεβαίαν γὰρ καὶ ἑδραίαν ἔχει τὴν εἰς Θεὸν ἐλπίδα, καὶ διὰ τοῦτο τοιούτων θορύβων καταφρονεῖ.

Paratum cor ejus sperare in Domi firmatum est cor ejus, non timebi videat super inimicos suos.

Mala auditio erit hæreticorum na, etiamsi ab illa non timebit q tus est, et qui scite timet Doı Neque minas formidabit, neque i nuntius justum pavorem. At S chus paratum dixit: ***Firmum.*** E enim et firmam habet spem in et idcirco hujusmodi turbas des

Psalmus CXII.

Ἀλληλούϊα.

Ἠθικὸς καὶ οὗτος καὶ εἰς ὠφέλειαν συγγεγραμμένος· διεγείρει γὰρ πάντας εἰς ὑμνῳδίαν τοῦ εὐεργέτου. — Ἐν τούτῳ διδάσκεται ὁ λαὸς ὁ νεὸς ἀδιάλειπτον τὸν ὕμνον προσφέρειν τῷ λυτρωσαμένῳ· ἀλλὰ δὲ καὶ τῶν ἐθνῶν πάντων κατασημαίνει τὴν κλῆσιν, οὓς καὶ παῖδας καλεῖ, διὰ τὸ ἀρτιγενὲς τῆς κατὰ ψυχὴν ἡλικίας, ἢ παῖδας τουτέστι δούλους αἰνίττεται.

v. 1, 2. Αἰνεῖτε, παῖδες, Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Διδάσκει τοὺς νέους τί δεῖ αἰνεῖν, ἅτε ἁπάλους και μήπω ἔχοντας γεγυμνασμένην τὴν πρὸς τὰ τοιαῦτα ἕξιν. Πῶς οὖν αἰνεῖν δεῖ; Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Ἢ παισὶν ἀπεικάζει τοὺς διὰ τὸ νεαρὸν τῆς κατὰ Θεὸν ἡλικίας ἐν ψυχῇ νεωμένους, οὓς ἐπὶ τὸν αἶνον καλεῖ τοῦ Θεοῦ. Ἀκύλας δὲ καὶ Σύμμαχος δούλους ἀντὶ τοῦ παῖδες ἐξέδωκαν. Δούλων γὰρ οὐ διαφέρουσι παῖδες, φόβῳ δουλείας παιδαγωγούμενοι· διὸ φοβουμένους Κύριον αὐτοὺς εἶπεν ὁ πρὸ τούτου ψαλ-

Alleluia.

Hic psalmus quoque spectat ad conscriptus ad meliora præstande nes enim provocat ad hymnum fico Deo canendum. — In eodem tur populus novus indefessum pı hymnum Salvatori. Sed et omniuı tium vocationem prænuntiat, qua ros vocat, ob animam juvenesc vel in pueris servos significat.

v. 1, 2. *Laudate, pueri, Dominu date nomen Domini. Sit nomen Dom nedictum ex hoc nunc et usque in lum.*

Docet juniores quid laudandum pote tenellos et necdum habentes tatam in similibus consuetudinen modo igitur laudare oportet? ***Sit Domini benedictum.*** Vel pueris ass eos qui propter jnvenilem secı Deum ætatem in anima innov quos ad laudem Dei provocat. Aqu tem et Symmachus *servos* pro pueı derunt. Pueri enim a servis non runt, cum timore servili instrui s

v. 1-3. Τὴν πρὸς τ. τ. διάνοιαν Cord. ἀπεικάζει τούτους Vat. 4. — ἡλικίας παῖδας νοουμένους Corder. ἐν ψυχῇ νοουμένης Cod. — δούλους ἀντὶ παί-δων Corder. — οὐ διαφέρει Cod. Κύριον o der. — Om. cod. infra αὐτοῦ et ἀλλά. — λαβόντες Corder. τὸ om. cod. cf. Field. ı

μός. Ἁπλῶς δὲ καὶ χωρὶς προσθήκης οἱ νέοι παῖδες καλοῦνται· οἱ δὲ δοῦλοι, παῖδες τινῶν. Ἢ παῖδας καλεῖ, ὡς ἀκμάζειν ὀφείλοντας περὶ τοὺς ὕμνους. Διὰ δὲ τοῦ· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, δηλοῖ ὡς εἰ καὶ τὴν φύσιν αὐτοῦ ἀγνοεῖτε, ἀλλὰ δεῖ, ὡς ὑπ' αὐτοῦ τὸ εἶναι λαβόντας, τὸ αὐτοῦ ὑμνεῖν ὄνομα, ὅπερ αἰώνιον ἔχει τὴν εὐλογίαν καὶ ἀδιάδοχον.

quapropter præcedens psalmus servos timentes Dominum nuncupavit. Simpliciter autem et sine addito novelli appellantur pueri: servi vero sunt pueri aliquorum. Vel pueros vocat, eo quod in hymnis decantandis debeant adolescere. Per illud autem: *Sit nomen Domini benedictum,* id declarat, nempe cum naturam ejus ignoretis, oportet tamen vos, ut qui ab ipso quod sitis accepistis, nomen ejus collaudare, quod in ævum et in perpetuum benedici dignum sit.

v. 3. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου.

Εἰπὼν δὲ ἀνωτέρω χρόνον, ἐν τούτοις λέγει καὶ τόπον, ὅτι ἐν παντὶ χρόνῳ καὶ ἐν παντὶ τόπῳ ὑμνεῖσθαι ὀφείλει· ἢ τὴν μετὰ ἐνανθρώπησιν τοῖς ἔθνεσι παρασχεθεῖσαν θεογνωσίαν τὸ ῥητὸν προθεσπίζει, μεθ' ἣν ἐπλήσθη πᾶσα ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον.

v. 3. *A solis ortu usque ad occasum laudabile nomen Domini.*

Cum superius tempus indicasset, hic locum etiam significat, ac si docuerit in omni tempore et in omni loco hymnos esse litandos; vel locus vaticinatur, gentibus concessam esse divinam scientiam post incarnationem; qua peracta, omnis terra Dei notitia repleta est.

Psalmus CXIII.

v. 3, 4. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν· ὁ Ἰορδάνης ἀνεχώρησεν εἰς τὰ ὀπίσω. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

Δηλοῦν ἔοικεν ὡς μετέχει τινὸς αἰσθήσεως ἡ πᾶσα κτίσις, ἀντιληπτικῆς τῆς θείας δυνάμεως, κἂν ἄψυχος ᾖ, ὡς καὶ χαίρειν, ἐπιβαίνοντος αὐτῆς τοῦ Θεοῦ, τῆς τε χαρᾶς μονονουχὶ τὴν αἰτίαν λεγούσης. Ἡ δὲ Μωϋσέως μόνον διδάσκει ἡ γραφή, ὅτι Κύριος ἐν Σινᾷ ὤφθη, καὶ ἐπέφανεν ἐξ ὄρους Χωρὴβ, καὶ ἄγγελοι μετ' αὐτοῦ. Καὶ ἀνέβη, φησί, Μωϋσῆς εἰς τὸ ὄρος, καὶ εἶδε τὰ ἴχνη ἔνθα εἱστήκεσαν οἱ πόδες τοῦ Θεοῦ· καὶ ὡς ὅλοις τεσσαράκοντα ἔτεσι τοῦ λαοῦ οἰκοῦντος τὴν ἔρημον, συνεῖν αὐτοῖς τὸ θεῖον ἐπιβαίνον ὄρεσι καὶ βουνοῖς· νυνὶ δὲ καὶ τὴν ἐκ τῆς αἰσθήσεως λόγος ὑποφαίνει χαράν.

v. 3, 4. *Mare vidit et fugit: Jordanis conversus est retrorsum; montes exultaverunt, ut arietes; et colles, ut agni ovium.*

Palam videtur, omnem creationem quadam corripi trepidatione, divinam ubi virtutem suscepit, inanima quantumvis sit, ita ut exultet, delapso ad eam Deo, ac lætitiæ suæ causam tantum non eloquatur. Moysis autem scriptura solum modo refert Deum in Sina visum fuisse, et apparuisse ex monte Choreb, astantibus cum eo angelis. « Et ascendit, inquit, Moyses in montem, et vidit vestigia in loco ubi pedes Dei positi sunt,» addens quomodo per integros quadraginta annos, dum populus desertum incoleret, divinum numen cum illis manserit, ascendens super montes et colles.

Ps. CXIII, v. 3, 4. Vat. 12. Exod. XVII, 6. Ἐπιβαίνοντος αὐτῇ sequentia suaderent, nempe: ἐπιβαίνον ὄρεσι καὶ βουνοῖς. Sed ob inconstantem scholiorum syntaxin, nil mutandum.

v. 10. Μήποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν.

Ἔνθα τὸ Ποῦ λέγεται, ἐκεῖ καὶ τὸ πότε· τὸ μὲν γὰρ τόπου ἐστὶ σημαντικόν, τὸ δὲ χρόνου. Εἰ δὲ χρόνος οὐ λέγεται ἐπὶ Θεοῦ (ποιητὴς γὰρ χρόνων ἐστίν), οὐκοῦν οὐδὲ τὸ Ποῦ ῥηθήσεται ἐπ' αὐτοῦ· δημιουργὸς γὰρ καὶ τόπων ἐστίν, εἴγε καὶ ὁ τόπος αὐτὸς τῆς σωματικῆς ἐστι φύσεως.

v. 11. Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. Πάντα ὅσα ϑέλησεν, ἐποίησε.

